# AKROPOLIS WORLD NEWS

**www.akwn.net**

J. Coderch

**Eighth Year**

**(September 2009 - June 2010)**

## Attacks against Afghans condemned / Chinese police kill five demonstrators / Greek PM calls elections

(06-09-09)

**Τὰς ἐπὶ τοὺς Ἀφγανοὺς ἐπιβολὰς καταμέμφουσιν**

Ἐν τῷ Ἀφγανιστᾶν τὰ τοῦ ΝΑΤΟ ἀεροσκάφη περὶ ἑκατὸν ἀνθρώπους ἀπεκτόνασιν, τόδε γὰρ ἐγένετο· πρῶτον μὲν οἱ ταλιβάνοι δύο τοῦ ΝΑΤΟ ἁμάξας ἔκλεψαν, τότε δὲ τοῖς τοῦ ΝΑΤΟ στρατηγοῖς ἔδοξεν αὐτοῖς ἐπιτίθεσθαι. τοῦτο μὲν ἐν τῷ Ἀφγανιστᾶν πολλάκις γίγνεται, καθ' ἡμέραν τὸ αὐτὸ ἀκούομεν, ἀλλὰ οὐ μόνον οἱ ταλιβάνοι οἱ τὰς ἁμάξας κλέψαντες ὑπὸ τῶν τοῦ ΝΑΤΟ ἀεροσκάφων ἀπέθανον ἀλλὰ καὶ πολλοὶ πολῖται, ὅμως δὲ οὐδεὶς οἶδεν ὁπόσοι τῶν ἀποθανόντων ἀληθῶς ταλιβάνοι ἦσαν καὶ ὁπόσοι πολῖται. νῦν δὲ οἱ τοῦ ΝΑΤΟ τῶν ἐξωτερικῶν ὑπουργοί, ἐν τῷ Στοκόλμῳ συνελθόντες, ἔγνωσαν τοῦτο ἐξετάζειν.

**Οἱ σινικοὶ φύλακες πέντε διαδηλῶτας ἀποκτείνουσιν**

Ἤδη πάλαι οἱ Οὐιγούρες, μουσουλμάνοι ὄντες, καὶ οἱ τοῦ Ἃν γένους καθ' ἡμέραν ἐν τῇ πόλει Οὐροῦμκι ἐπὶ ἀλληλοῖς μάχονται, οἱ δὲ ἐν τέλει τούς τε φύλακας καὶ τοὺς στρατιώτας ἔπεμψαν τοῦτο παῦσαι πειρῶντες· μαχῆς δὲ δύο ἡμέρας ἐν ταῖς τῆς πόλεως ἀγυίαις γενομένης πέντε μὲν πολῖται ἀπέθανον, πολλοὶ δὲ ἄλλοι ἐβλάβησαν. οἱ μὲν τοῦ Ἃν γένους τὴν ἐν τῷ Πεκίνῳ ἀρχὴν καταμέμφουσιν ἅτε αὐτοὺς οὐ φυλάττουσαν, οἱ δὲ Οὐιγούρες τὴν ἀρχὴν καταμέμφουσιν λέγοντες ὅτι ἡ ἀρχὴ σφίσι ἐπιτίθεται ἅτε μουσουλμάνοις οὖσιν.

**Ὁ τῆς Ἑλλάδος πρωθυπουργὸς ἀρχαιρεσίας ἀγγέλλει**

Ὁ τῆς Ἑλλάδος πρωθυπουργὸς Κωνσταντίνος Καραμανλὴς ἤγγειλεν ὅτι ἀρχαιρεσίας τοῦ Ὀκτωβρίου μηνὸς ποιεῖσθαι ἐν νῷ ἔχει, δύο ἔτη πρὶν ἢ ἡ ἑαυτοῦ ἀρχὴ τέλος ἔχῃ ἄν, εἶπε δὲ ὅτι οἰκονομικάς τινας ἐπανορθώσεις εἰσηγεῖσθαι βούλοιτο, ἄλλας τε καὶ τὴν δημοσίαν δαπάνην μειοῦν, οἱ γὰρ ἄλλοι βουλευταί, ἄλλοι τε καὶ οἱ τῆς κοινωνιστῆς ἑταιρείας, αὐτὸν καταμέμφονται ὅτι καίπερ τῆς οἰκονομίας καταδυούσης τὸ δέον οὐ πεποίηται· ἐν μὲν τῷ παρόντι οὐκ ἔξεστιν αὐτῷ τῆς χώρας ἄρχειν ἅτε τὴν τῆς βουλῆς βοηθείαν οὐκ ἔχοντι,

βούλεται δὲ τὸ πλεῖστον τὸ τῆς βουλῆς κτᾶσθαι ἵνα ταύτας τὰς ἐπανορθώσεις εἰσηγεῖσθαι πειρᾷ.

## New York, 400 years old / Tourists to pay 10 dollars in USA / Abramovich can't reach top of Kilimanjaro

(13-09-09)

**Ἡ Νέα Ἰόρκη, ἤδη τετρακόσια ἔτη γεγεννῦια**

Ἤδη τετρακοσιοστὸν ἔτος τὴν Νέαν Ἰόρκην κατῳκίσαντο· πάντες μὲν ἴσασιν ὅτι ἡ νῆσος Μαγχάτταν τὸ πρῶτον τῆς πόλεως μέρος ἐγένετο, ἐκεῖ δὲ οὐ τῇ Ἀγγλικῇ γλώττῃ ἐχρῶντο ἀλλὰ τῇ Ὁλανδικῇ, οἱ γὰρ οἰκισταὶ ἐκ τῆς Ὁλανδίας ἀφίκοντο· οἱ δὲ νῦν πολῖται, τῆς κατοικίσεως μεμνημένοι, οὐ περὶ τῆς κατοικίσεως αὐτῆς διαλέγονται ἀλλὰ περὶ τοῦ Ἰωάννου Κόλμαν, οὗτος γὰρ ἐστὶ ὁ πρῶτος ἄνθρωπος ὃς ἐν τῇ νέᾳ πόλει βίᾳ ἀπέθανεν, οὐδέποτε δὲ ἀνηῦρον ὅστις αὐτὸν ἀποκτείνειεν, λέγεται δὲ ὅτι νῦν ὁ φάντασμα αὐτοῦ πάλιν εἰς τὴν πόλιν ἐπανελήλυθεν. ὁ Κόλμαν ναύτης ἦν· τῆς μὲν νέως εἰς τὴν νῆσον Μαγχάτταν ἀφικομένης, ἔνιοι τῶν ναυτῶν ἐπὶ κατασκοπὴν ἀπῆλθον, ὁ δὲ Κόλμαν ἤδη τεθνηκὼς ἐπανῆλθεν· τοῦδε δὲ λεγομένου, ὅτι οἱ ἄλλοι αὐτῷ ἐφθόνουν, αὐτὸν μὲν ταχέως ἔθαψαν, τὸν δὲ τάφον οὐδέποτε ηὗρον.

**Ἐν ταῖς ΗΑΠ δεήσει τοὺς τουριστὰς δέκα δόλαρας ἀποτίνειν**

Ἡ τῶν ΗΑΠ Βουλὴ ἐβουλεύσατο ὅτι δεήσει τοὺς ξένους δέκα δόλαρας ἀποτίνειν ἐὰν εἰς τὴν χώραν εἰσελθεῖν βούλωνται· λέγεται δὲ ὅτι τὸ πέρυσιν πεντήκοντα καὶ ὀκτὼ ἑκατομμύρια τουριστῶν εἰς τὰς ΗΑΠ εἰσῆλθον· τῇ Βουλῇ τοῦτο ποιεῖν δόξαν, ὁ τῆς Εὐρωπαΐης Ἑνώσεως φερέφωνος μέγα τούτῳ τῷ νέῳ νόμῳ ἐνέστη, εἶπε δὲ ὅτι τοῦτο ἀληθῶς ζημία εἴη. ὅμως δὲ τόδε ἐστὶ τὸ ἐρώτημα· ἆρα εἰσελεύσονται νῦν μείονες τουρισταὶ ἢ τὸ πρότερον;

**Ὁ Ἀβραμόβιξ οὐκ ἔχει ἀνὰ τὸ Κιλιμαγχάρον ἀναβῆναι**

Ὁ Ῥώμαν Ἀβραμόβιξ, τέτταρα καὶ δύο ἔτη γεγονώς, εἰς τὸ τοῦ Κιλιμαγχάρου ἄκρον ἀφίκεσθαι ἐν νῷ εἶχεν· ὅμως δὲ καίπερ πλείστους φορειαφόρους καὶ ἡγεμόνας μισθώσας τοῦτο κτᾶσθαι οὐκ ἐδύνατο· ὁ μὲν τόπος οὐκ ἀδιάβατος ἦν, τὸ δὲ πνεῦμα μέγιστον πρόβλημα ἐγένετο, τῷ γὰρ Ἀβραμόβιξ ἀναπνεῖν οὐκ ἐξῆν ἱκανοῦ πνεύματος ἐκεῖ οὐκ ὄντος· τέλος δὲ ὁ ἰατρὸς τὸν Ἀβραμόβιξ ἐξετάσας ἐκέλευσεν αὐτὸν καταβῆναι καίπερ μόνον χίλια μέτρα ἀπὸ τοῦ ἄκρου ἀπέχοντα.

## F. C. Barcelona holds Messi / Germany produces the Trabant again / Al Qaeda threatens Germany

(20-09-09)

### Ἡ Βαρκελόνη τὸν Μέσσι αὖθις μισθοῦται

Τίς περὶ τοῦ Μέσσι οὐκ ἤκουσεν; τοῦτον τὸν μικρὸν ποδοσφαιριστήν, ἐν τῇ Ἀργεντίνᾳ γεγονότα, ἤδη μειράκιον ὄντα πᾶσα ἡ οἰκουμένη ἐθαύμαζεν, δῆλος γὰρ ὁ Μέσσι ἦν ἐνδοξότατος γενησόμενος. ὁ μὲν μικρὸς ποδοσφαιριστὴς ὑπὲρ τῆς Βαρκελόνης ἐμάχετο, πᾶσαι δὲ αἱ ἄλλαι ποδοσφαιρικαὶ ἑταιρεῖαι ἐπείρωντο τὸν μικρὸν ἀστέρα μισθοῦσθαι· ὅμως δὲ ἡ Βαρκελόνη τὸν Μέσσι ἤδη "δέδεκεν", νέας γὰρ συνθήκας ὅ τε ποδοσφαιριστὴς καὶ ἡ ἑταιρεία νεωστὶ πεποίηνται· κατὰ δὲ ταύτας τὰς συνθήκας ὁ Μέσσι ὑπὲρ τῆς Βαρκελόνης ἔτι ἑπτὰ ἔτη μαχεῖται.

### Ἡ Γερμανία τὸ Τραβὰντ αὖθις ἐργάζεται

Τὸ Τραβὰντ μικρὸν αὐτοκίνητον ἦν ὃ ἐν τῇ Ἀνατολικῇ Γερμανίᾳ πολλὰ ἔτη ἠργάζοντο, σύμβολον δὲ ταύτης τῆς χώρας καὶ ἐκείνου τοῦ πολιτικοῦ συστήματος ἐγένετο· τοῦ δὲ πολιτικοῦ συστήματος ἐν τῇ Α. Γερμανίᾳ ἀποθανόντος, τὸ Τραβὰντ οὐκέτι ἠργάσαντο, ὁ γὰρ δῆμος ἑσπέρια αὐτοκίνητα κτᾶσθαι ἐβούλετο, βελτίω γὰρ ἦν· ἀλλὰ νῦν ἐν τῷ Φραγκφούρτῳ νέον Τραβὰντ ἔδειξαν, ὅμως δὲ τοῦτο τὸ νέον Τραβὰντ οὐ πετρελαίῳ ἀλλὰ ἠλεκτρικῇ δυνάμει χρῆται· τόδε δὲ γελοῖόν ἐστιν· ἐν τῇ Α. Γερμανίᾳ οἱ ἐν τέλει τότε οὐ Τραβὰντ εἶχον ἀλλὰ Βόλβω, διὰ δὲ τοῦτο οἱ πολῖται εἰρωνικῶς "Βολβογρὰδ" ἐκάλουν τὸν τοῦ Βερλὶν δῆμον ἐν ᾧ οἱ ἄρχοντες ᾤκουντο.

**Τὸ Ἀλ Καῖδα τῇ Γερμανίᾳ ἀπειλεῖ**

Ἐν τῇ Γερμανίᾳ οἱ πολῖται ἀρχαιρεσίας ἐντὸς ὀλίγου ποιήσονται, ἡ δὲ τρομοκρατικὴ ἑταιρεία Ἀλ Καῖδα τῇ Γερμανίᾳ ἠπείλησεν, λέγουσι γὰρ οἱ τρομοκράται ὅτι προσβολὰς ποιήσονται ἐὰν ἡ νέα ἀρχὴ τοὺς στρατιώτας οὓς ἐν τῷ Ἀφγανιστᾶν ἡ Γερμανία κατέχει μὴ ταχέως ἀπάγῃ· ὁ τῆς τρομοκρατικῆς ἑταιρείας φερέφωνος ὁ Βεκκαῖ Ἅρρακ ἦν, ἐν δὲ τῇ ἀγγελίᾳ εἶπε καὶ ὅτι δέοι τοὺς μουσουλμανικοὺς ἐν τῇ Γερμανίᾳ οἰκοῦντας ἀπὸ τῶν ἀγορῶν ἀπεῖναι, αἱ γὰρ τρομοκρατικαὶ προσβολὰς ἐν τούτοις τοῖς τόποις ἀγορᾶς πληθούσης γένοιντο.

## Jordanian citizen arrested in USA / Anglosaxon treasure found / Dracula is still alive

(27-09-09)

**Ἰορδάνον πολίτην ἐν ταῖς ΗΑΠ συλλαμβάνουσιν**

Οἱ τοῦ ΦΒΙ φύλακες Ἰορδάνον πολίτην τινά, Ὅσαμ Σμᾶδι καλουμένον, συνέλαβον βόμβαν πειρῶντα ἐν οἰκήματί τινι ἐν Δάλλας τιθέναι· ὁ μὲν Σμᾶδι, μόνον ἐννεακαίδεκα ἔτη γεγονώς, ἐν ταῖς ΗΑΠ παρὰ τοὺς νόμους ᾤκει, τὸν γὰρ ἐξουσίαν μένειν οὐκ ἔλαβεν, πολλάκις δὲ τοῖς φίλοις εἶπεν ὅτι ἐν τῷ Ἰχὰδ (ἱερῷ πολέμῳ) μάχεσθαι βούλοιτο· οἱ δὲ τοῦ ΦΒΙ φύλακες, τὸν νεανίαν πολὺν χρόνον κατασκοπήσαντες καὶ περὶ τοῦ ἐπιβουλεύματος μαθόντες, συνέλαβον· οὗτος δὲ ὁ νεανίας νῦν δικασθήσεται ὡς τρομοκρατικὴν προσβολὴν ποιεῖν πειράσας.

**Ἀγγλοσαιόνον θησαυρὸν εὑρίσκουσιν**

Ὁ Τέρρι Ἕρβερτ ἀγγλοσαιόνον θησαυρὸν ἐν ἀγρῷ τινι ἐγγὺς τοῦ Βίρμιγγαμ ηὗρεν. ὁ Ἕρβερτ ἐν τοῖς φιλοῦ τινος ἀγροῖς ἔκαμνεν, ἐξαίφνης δὲ τὸ μηχάνημα ᾧ ἀεὶ χρῆται μεταλλικὰ ὑπὸ τῆς γῆς ζητῶν τι ηὗρεν· τοῦτο δὲ ἐξορύξας ηὗρε ξίφη τε καὶ νομίσματα καὶ ἄλλα ἄξια. λέγουσι δὲ οἱ ἔμπειροι ὅτι οὗτος μὲν ὁ ἀγγλοσαιόνος θησαυρὸς τῆς ἑβδόμης

ἑκατονταετίας ἐστίν, ἴσως δὲ δεήσει νῦν ἐνίας ἱστορικὰς θεωρίας μεταβαλεῖν. νῦν μὲν τὸν θησαυρὸν ἀκριβῶς ἐξετάσουσιν οἱ ἔμπειροι ἵνα τὴν προσήκουσαν τιμὴν αὐτῷ νέμωσιν, ἔπειτα δὲ ἐν μουσείῳ δείξουσιν.

**Ὁ Δράκυλα ἔτι ζῇ**

Πάντες ἴσμεν ὅστις ὁ Δράκυλά ἐστιν, ἡ γὰρ βίβλος τῷ Βρὰμ Στόκηρ γεγραμμένη ἐνδοξοτάτη ταχέως ἐγένετο καὶ πολλὰ κινηματογραφικὰ ἔργα ἐποιήθησαν· ἀλλὰ περὶ τὴν τῆς βίβλου τελευτὴν λέγει ὁ Δράκυλα· "τιμωρίαν ὑμῶν λήψομαι, ἡ δὲ ἐμὴ τιμωρία ἑκατονταετίας διαμενεῖ, ὁ γὰρ χρόνος ὑπέρ μου τρέχει". νῦν δὲ ἔκγονός τις τοῦ Βρὰμ Στόκηρ, Δάκρη Στόκηρ ὀνομαστί, ἄλλην μὲν περὶ τοῦ Δράκυλα βίβλον γράφειν ἐν νῷ ἔχει τοῖς ὑπομνήμασι τοῖς τῷ Βρὰμ Στόκηρ λελειμμένοις χρώμενος, λέγει δὲ ὅτι ἡ ἐπιγραφὴ "Δράκυλα, ὁ οὐ τεθνηκώς" ἔσται.

## New gate of Troy found / Terrible earthquake in Indonesia / Rio de Janeiro will organize Olympic Games

(04-10-09)

**Νέαν τοῦ Ἰλίου πύλην εὑρίσκουσιν**

Οἱ Γερμανικοὶ ἀρχαιολόγοι οἱ τοῦ Τουβίγγην Πανεπιστημίου (ὁ καθεδρατικὸς Ἐρνεστὸς Πέρνικα τοῦ ἔργου ἄρχεται), ἐν τῷ Ἰλίῳ ἐξορύττοντες, νέαν τε τῆς πόλεως πύλην ηὗρον καὶ δύο τάφους· ἡ μὲν πύλη ἐν τῇ πόλει "Ἰλίῳ ἓξ" καλουμένῃ ηὗρον (πάντες ἴσασιν τὸν Σλιέμαν ἐννέα πόλεις ἐπὶ ἀλλήλων κειμένας εὑρόντα), οἱ δέ τάφοι ἐγγὺς τῆς πύλης κεῖνται. καὶ δὴ καὶ ὄρυγμά τι ηὗρον παρὰ τὸ τείχισμα ἐκτεινόμενον, τοῦτο δὲ τὸ ὄρυγμα ἐνακόσια μέτρα τὸ μῆκός ἐστιν. ὅμως δὲ οὐ πάντα ἐξορύττειν ἐδυνήθησαν, ταῦτα γὰρ ὑπὸ τῶν ἐρειπίων κεῖνται τῶν τοῦ τε Ἑλληνιστικοῦ καὶ Ῥωμαϊκοῦ τειχίσματος τρία μέτρα ὑπὸ τῆς γῆς.

**Δεινὸς σεισμὸς ἐν τῇ Ἰνδονησίᾳ**

Δεινὸς σεισμὸς πολλοὺς τῆς Ἰνδονησίας τόπους ἔσεισεν, ἄλλως τε καὶ τὴν νῆσον Σουμάτραν· ἐν ταύτῃ τῇ νήσῳ χίλιοι ἄνθρωποι ἀπέθανον· ὅμως δὲ λέγουσιν οἱ ἄρχοντες ὅτι ἴσως πολὺ πλείονες ἀπέθανον, πολλὰ γὰρ οἰκήματα τῆς γῆς σειομένης συνέπεσον καὶ οὐδεὶς οἶδεν ὁπόσοι ἄνθρωποι ὑπὸ τῶν ἐρειπίων κεῖνται, λέγεται δὲ ὅτι τέτταρες χίλιοι. ὁ δὲ σεισμός οὕτως δεινὸς ἦν ὥστε καὶ ἐν τῇ Μαλασίᾳ καὶ τῷ Σιγγαποῦρ ᾔσθοντο.

**Τὸ Ῥῖο δὲ Ἰανεῖρο τὰ Ὀλύμπια παρασκευάσει**

Ἐν τῷ Βρασῖλ μάλιστα ἥδονται νῦν, τὰ γὰρ Ὀλύμπια παρασκευάσουσιν· ἔδει μὲν πόλιν ἑλέσθαι ἵνα τὰ Ὀλύμπια παρασκευάζοι, τέτταρες δὲ πόλεις τοῦτο τὸ ἔργον κτᾶσθαι ἐβούλοντο· τὸ Σικάγω καὶ τὸ Βειγὶγγ καὶ τὸ Μαδρὶδ καὶ τὸ Ῥῖο δὲ Ἰανεῖρο· ταύτης τῆς πόλεως νικησάσης, οἱ τοῦ Βρασῖλ πολῖται ἐκ τῶν οἰκιῶν εἰς τὰς ἀγυίας ἐξῆλθον. τὰ μὲν ἐπιγιγνομένα Ὀλύμπια ἐν τῷ Λονδίνῳ γενήσονται, ἔπειτα δὲ ἐν τῷ Βρασῖλ.

## Two Guantanamo prisoners set free / British Museum to investigate Moctezuma's death / Three men sentenced to death in Iran

(11-10-09)

**Δύο αἰχμάλωτοι ἐκ τοῦ ἐν τῷ Γουαντανάμῳ δεσμωτηρίου ἐξέρχονται**

Δύο αἰχμάλωτοι οἳ ἐν τῷ τοῦ Γουαντανάμου δεσμωτηρίῳ ἔκειντο ἠλευθερώθησαν χθὲς πολλὰ ἔτη ἐκεῖ μείναντες· ὁ μέν, ῀Αλ Μουταῖρι ὀνομαστί, εἰς τὸ Κουβεῖτ ἐλήλυθεν, Κουβειτίος γὰρ ἐστίν· οὗτος ὁ ἄνθρωπος ὀκτὼ μὲν ἔτη ἐν τῷ δεσμωτηρίῳ ἔκειτο, νῦν δὲ ἐν τῷ Κουβεῖτ νέαν δίαιταν ἕξει· ὁ δέ (οὐδεὶς τὸ ὄνομα τὸ τοῦ δευτέρου οἶδεν) εἰς τὴν Βελγίαν ἐλήλυθεν, καίπερ Βελγικὸς οὐκ ὤν, ὁ δὲ τῶν ἐχωτερικῶν Βελγικὸς ὑπουργὸς εἶπεν ὅτι δεῖ νῦν ὠφελεῖν αὐτὸν ἵνα αὖθις τῇ ἐλευθερίᾳ συνήθης γίγνηται. νῦν δὲ πεντακόσιοι πέντε αἰχμάλωτοι ἐκ τοῦ Γουαντανάμου ἤδη ἐξῆλθον, διακόσιοι εἴκοσι δὲ μένουσιν.

**Τὸ Βρετανnικὸν Μουσεῖον περὶ τοῦ Μοκτεζύμης ἐξητάζει**

Οὐδεὶς ἀκριβῶς οἶδε ὅπως ὁ τῶν Ἀζέκων βασιλεὺς Μοκτεζοῦμα ἀπέθανεν· ἆρα κατέλευθη ὑπὸ τῶν συμπολιτῶν ἅτε τοῖς ξένοις συμπράττων; ἴσως ἑαυτον ἀπέκτεινεν; ἢ αὐτὸν ἀπέκτειναν οἱ Ἱσπανικοί; νῦν τὸ Βρετανnικὸν Μουσεῖον περὶ τοῦ Μοκτεζούμης ἐξητάζειν βούλεται, ἄλλα τε καὶ ὅπως ὁ βασιλεὺς ἀπέθανεν· καὶ δὴ καὶ ὁ μὲν τοῦ βασιλέως νέκρος οὐδέποτε ηὑρέθη, τοῦτο δὲ ἔτι χαλεπώτεραν πᾶσαν τὴν ἐξήτασιν ποιεῖ. ὁ Μοκτεζοῦμα εἴκοσι μὲν ἔτη τῶν Ἀζήκων ἐβασίλευεν, τὴν δὲ ἀρχὴν ηὔξανε μεγίστῃ στρατιᾷ χρώμενος.

**Τριῶν ἀνθρώπων ἐν τῷ Ἰρᾶν θάνατον καταγιγνώσκουσιν**

Οἱ Ἰσλαμικοὶ τοῦ Ἰρᾶν δικασταὶ τριῶν ἀνθρώπων κατέγνωσαν ἅτε τῷ προέδρῳ Ἀχμαδινεῖαδ ἐνστάντων, ἀρχαιρεσιῶν γὰρ γενομενῶν οἱ περὶ τοῦ Χαταμὶ τὸν Ἀχμαδινεῖαδ ἐμέμψαντο ὅτι περὶ τοῦ τῶν ψήφων ἀριθμοῦ ἐψεύσατο ἵνα αὖθις πρόεδρος γένοιτο· τότε δὲ οἱ φύλακες τὴν στάσιν καταπαύοντες πλείστους μὲν πολῖτας κατεῖρξαν, ἄλλους δὲ ἀπέκτειναν (περὶ πεντήκοντα)· πολλοὶ μὲν τῶν κατερχθήντων κατεγνώσθησαν, τρεῖς δὲ τούτων θάνατον. τοῖς δημοσιογράφοις περὶ τούτου ἐρωτῶσιν ἀπεκρίναντο οἱ δικασταὶ ὅτι οὗτοι οἱ ἄνθρωποι τῷ Θεῷ μάχοιντο καὶ διὰ τοῦτο τοῦ θανάτου ἄξιοί εἰσιν.

## Half century fighting against the Romans / Did Mussolini work for the MI5 in WW1? / Albania wants the corpse of Mother Teresa

(18-10-09)

**Ἤδη ἡμισεῖαν ἑκατοντατετίαν πρὸς τοὺς Ῥωμαίους μαχόμενος**

Ὅ τε Ἀστέριξ καὶ ὁ Ὀβέλιξ ἤδη πρὸς τοὺς Ῥωμαίους μεμάχηνται, ὁ γὰρ συγγραφεὺς Γοζίνι καὶ ὁ ζωγράφος Οὐδέρθω τὴν πρώτην περὶ τῶν δυοῖν Γαλατῶν βίβλον ἤδη πεντηκοστὸν ἔτος ἐξέδοσαν. πρῶτον μὲν ὅ τε Γοζίνι καὶ ὁ Οὐδέρθω εἴκοσι ἐννέα βίβλους ἐξέδοσαν, ἔπειτα δέ, τοῦ Γοζίνι ἀποθανόντος, ὁ Οὐδέρθω μόνος τέτταρας ἄλλας βίβλους ἐξέδωκεν· νῦν δέ, τὰ πεντήκοντα ἔτη ἐπαινεῖν βουλόμενος, νέαν βίβλον ἐκδώσει, ἐν ᾗ πολλοὶ τῶν φίλων οὓς ὁ Ἀστέριξ πρὸς τοὺς Ῥωμαίους μαχόμενος ἐγίγνωσκεν αὖθις ὀψόμεθα.

**Ἆρα τῷ MI5 ἠργάσατο ὁ Μουσσολίνι ἐν τῷ Πρώτῳ Παγκοσμίῳ Πολέμῳ;**

Ὁ Πέτρος Μάρτλανδ, διδάσκαλος ἐν τῷ τῆς Καμβρίδγης Πανεπιστημίῳ ὢν καὶ πολλὰ ἔτη περὶ τοῦ Μουσσολίνι ἐξετάσας, διαβεβαιοῦται ὅτι ἐν τῷ Πρώτῳ Παγκοσμίῳ Πολέμῳ ὁ Μουσσολίνι, τότε δημοσιογράφος ὤν, τῷ καλουμένῳ "MI5" ἐργάσαιτο· ἐν μὲν τῷ Π.Π.Π. ἥ τε Βρεταννία καὶ ἡ Ἰταλία σύμμαχοι ἐγένοντο, τὸ δὲ ἐπίταγμα τὸ τῷ Μουσσολίνι δοθὲν τόδε ἦν· ἔδει αὐτὸν τὴν Ἰταλίαν κωλύειν ἐκ τοῦ πολέμου ἀποστῆναι. ὁ δὲ Μάρτλανδ ταῦτα νεωστὶ ἐπύθετο τὰς ἐπιστολὰς τὰς τοῦ Σαμουῆλ Ὀάρη ἐπιστολὰς μετὰ τὸν πόλεμον γεγραμμένας (ὁ Ὀάρης συχνῷ χρόνῳ ὕστερον Τεμπλεβοῦδ ὀνομαστὶ ἐγένετο).

**Ἡ Ἀλβανία τὸν τῆς Μητρὸς Τερέσης νεκρὸν κτᾶσθαι βούλεται**

Οἱ τῆς Ἀλβανίας ἄρχοντες τὴν Ἰνδίαν τὸν τῆς Μητρὸς Τερέσης νεκρὸν αἰτοῦσιν, κατὰ γὰρ τὸ ἔθνος ἡ Τερέσα Ἀλβανὴ ἦν καίπερ ἀεὶ ἐν τῇ Κολκάτῃ οἰκήσασα· αὐτὴ δὲ περὶ ἑαυτῆς τάδε ἀεὶ ἔλεγεν· "κατὰ μὲν τὸ αἷμα Ἀλβανή εἰμι, κατὰ δὲ τὴν πολιτείαν Ἰνδική, κατὰ δὲ τὴν πίστιν καθολική, ἀλλὰ ἔγωγε τῇ οἰκουμένῃ ἐμαυτὴν παρέχω". λέγουσι μὲν οἱ Ἀλβανοὶ ὅτι ἥ τε μήτηρ καὶ ἡ ἀδελφὴ ἡ τῆς Τερέσης ἐν τῇ Ἀλβανίᾳ κεῖνται, κατὰ δὲ τὴν τῆς Ἰνδίας ἀρχὴν ἡ Τερέσα Ἰνδικὴ πάλαι ἐγένετο, τὴν γὰρ Ἀλβανίαν ἤδη εἴκοσι ἔτη γεγονυῖα κατέλιπεν.

## Czech Republic to sign Lisbon Treaty / Germany to lower taxes / Airplane misses airport

(25-10-09)

**Ἡ Ζεκία ταῖς τοῦ Λισβόνος συνθήκαις ἐπικουρήσει**

Ὁ τῆς Ζεκίας πρόεδρος, ὁ Βάκλαβ Κλαῦς, μετέγνω, εἶπε γὰρ ὅτι ταῖς τοῦ Λισβόνος συνθήκαις ἐπικουρήσει· πρῶτον μὲν ταύταις ταῖς συνθήκαις ἐπικουρῆσαι ἠρνήθη, οἱ γὰρ ἄλλοι τῶν συνθηκῶν ὑπογραφόμενοι τῇ Ζεκίᾳ καθήκοντα πολλὰ ἐπιθεῖναι ἐπείρασαν, ἔπειτα δέ, τῶν ἄλλων χωρῶν ταῦτα τὰ καθήκοντα ἀφελουσῶν, ἡ τῆς Ζεκίας ἀρχὴ ὡμολόγησεν. ἆρα τίνα ταῦτα τὰ καθήκοντα; λέγεται ὅτι τὸ χρῆμα περὶ τῶν Γερμανῶν ἐστιν οἳ μετὰ τὸν Δεύτερον Παγκόσμιον Πόλεμον καίπερ ἐν τῇ Ζεκίᾳ ἐκ πάλαι οἰκοῦντες ἐκ ταύτης τῆς χώρας ἐξηλάθησαν.

**Ἡ τῆς Γερμανίας ἀρχὴ τοὺς δασμοὺς μειώσει**

Ἡ Ἄγγελα Μέρκηλ, ἡ τῆς Γερμανίας ἄρχουσα, εἶπεν ὅτι τοὺς δασμοὺς οὓς δεῖ τοὺς πολίτας ἀποτίνειν μειώσοι· πάντες μὲν ἴσμεν ὅτι ἡ τῆς Εὐρώπης οἰκονομία οὐ μάλα ἰσχυρίζεται νῦν, ἄλλαι δὲ χῶραι ἄλλας ἐξόδους εὑρεῖν πειρῶσιν· αἱ μέν, τοὺς δασμοὺς αὐξήσασαι, ἐλπίζουσι πλείονα χρήματα ὡς τάχιστα κτήσεσθαι, αἱ δὲ τοὐναντίον πεποιήκασιν, λέγουσι γὰρ ὅτι ἐὰν τοὺς δασμοὺς μειῶσι τοὺς τῆς χώρας πολίτας ἐποτρυνοῦσιν πλέον εἰς τὴν οἰκονομία διαθεῖναι. καὶ δὴ καὶ ἡ Ἄγγελα τὴν ἀναγκαίαν στρατείαν τοῖς νεανίαις (εἰς τὸ παρὸν ἐννέα μηνὰς τὸ μῆκος οὖσαν) μειώσει.

**Ἀεροσκάφος τις τοῦ ἀερολιμένος σφάλλεται**

Ἀεροσκάφος τις ἐκ τοῦ ἐν τῷ Σὰν Διέγῳ ἀερολιμένος ἐξελθὸν ἔδει εἰς τὴν Μιννεαπόλιν ἀφίκεσθαι, ὅμως δὲ οἱ κυβερνῆται οὐ μόνον τοῦ τῆς Μιννεαπόλεως ἀερολιμένος ἐσφήλαντο ἀλλὰ καὶ πλείονα ἢ διακοσία περισσὰ χιλιομέτρα ἔπτοντο· τὴν μὲν τοῦ σφάλματος αἰτίαν οὐδεὶς ἀκριβῶς οἶδεν, οἱ δὲ κυβερνῆται, πρόφασιν δοῦναι πειρῶντες, λέγουσιν ὅτι ἐξαίφνης ἀλλήλοις περὶ οἰκονομίας ἠμφεσβήτουν, ὅμως δὲ λέγεται ὅτι ἀληθῶς οἱ κυβερνῆται εἰς ὕπνον ἔπεσον· τῶν μὲν κυβερνητῶν εἰς ὕπνον πεσόντων, οἱ ἐπιβᾶται τοῦ ἀεροσκάφους ἔτι πετομένου οὐδὲν ᾔσθοντο, μόνον δὲ περὶ τοῦ πράγματος ἤκουσαν ἤδη ἐκ τοῦ ἀεροσκάφου ἐκβάντες.

## Ninety-two die in Pakistan / Allan Poe honoured in Mexico / Camorra leader arrested

(01-11-09)

**Ἐνενήκοντα καὶ δύο ἀποθνῄσκουσιν ἐν τῷ Πακιστᾶν**

Τῆς Ἵλλαρι Κλίντονος εἰς τὸ Πακιστᾶν ἤδη ἀφικομένης, ἐνενήκοντα καὶ δύο ἄνθρωποι ἀπέθανον ὑπὸ τῶν Ταλιβάνων τρομοκρατῶν ἐν τῷ Πεσαβάρ· ἡ βόμβα, μεγίστη τε οὖσα καὶ ἐν αὐτοκινήτῳ κειμένη, οὐ μόνον ἐνενήκοντα καὶ δύο ἀπέκτεινεν ἀλλὰ καὶ πλείονας ἢ

διακοσίους ἔβλαψεν· τοῦτο δὲ τὸ δυστύχημα ἐγγὺς τῆς ἀγορᾶς Μεήνα καλουμένης ἐγένετο, πολλὰ δὲ οἰκήματα διεφθάρη, ὁ γὰρ ἀνατιναγμὸς μέγα ὄρυγμα ἐποίησε καὶ τὰ περὶ τοῦ ὀρύγματος οἰκήματα συνέπεσον· μετὰ δὲ τὴν ἐπιβολὴν εἶπεν ἡ Ἵλλαρι Κλίντων ὅτι ἤδη πρὸ τῆς πορείας βούλοιτο συμμαχίαν ἐπὶ τοὺς τρομοκράτας τοῖς τοῦ Πακιστᾶν ἄρχουσι ποιήσασθαι.

**Τὸν Ἄλλαν Πόην ἐν τῷ Μεξίκῳ τιμῶσιν**

Τὴν Ἅλλοβιν ἑορτάζοντες, οἱ μαθηταὶ οἱ τοῦ Μεξίκου Πανεπιστημίου πολλοὺς βωμοὺς ἐν τῷ πανεπιστημίω αὐτῷ ἀνέθησαν ἵνα τὸν ἔνδοξον συγγραφέα Ἄλλαν Πόην, πολλὰς φοβερὰς ἱστορίας γράψαντα, τιμήσαιεν, παρὰ δὲ τοῖς βωμοῖς ἔξεστι ἰδεῖν εἰκόνας τῶν βιβλῶν αὐτῷ γεγραμμένων, μίαν βίβλον καθ' ἕκαστον βωμόν· τοῖς δὲ θεαταῖς ἰδεῖν ἔξεστι τὸν τῶν Οὔσηρ οἶκον, τὸν κόρακα, τὸν μέλανα αἴλουρον, τὸν φθεῖρα, κτλ. καὶ δὴ καὶ μικρὸν θέατρον ἀνέστησαν ἐν ᾧ οἱ μαθηταὶ τὰς τοῦ Α. Π. συγγραφὰς ὑποκρίνονται.

**Ἀρχοντα τῆς Καμόρρης καθειργνύασιν**

Οἱ τῆς Ἰταλίας φύλακες τὸν Σαλβατόρην Ῥοῦσσον πολλὰ ἔτη ζητήσαντες ἐν τῇ Νεαπόλει κατεῖρξαν. οὗτος ὁ ἄνθρωπος, πεντήκοντα καὶ ἓν ἔτη γεγονώς, ὁ δεύτερος ἄρχων τῆς Καμόρρης ἐστίν, οἱ δὲ φύλακες αὐτὸν ἐζήτουν ἅτε φονέα ὄντα καὶ νέκρον τινὰ κρύψαντα καὶ χρήματα κλέψαντα καὶ ἄλλα ἀδικήματα ποιήσαντα. εἶπε δὲ ὁ ὑπουργὸς Ῥοβέρτος Μαρόνι ὅτι τούτου τοῦ φονέως κατερχθέντος ὁ κῦκλος ὁ περὶ τῶν Καμορριστῶν μᾶλλον κλείεται. ὁ Ῥοῦσσος ἤδη ἐν τῷ δεσμωτηρίῳ κεῖται, οὗ τὸν λοιπὸν βίον ἄξει. νῦν ζητοῦσιν οἱ φύλακες τὸν ἀδελφὸν αὐτοῦ, Πασκουάλην ὀνομαστί.

## 20 years without Berlin Wall / Trying to judge Karadzic / Cruyff, new football coach of Catalonia

(09-11-09)

**Ἤδη τὸ εἰκοστὸν ἔτος τὸ τοῦ Βερλὶν τεῖχος κατέπεσεν**

Τὸ τοῦ Βερλὶν τεῖχος, ὃ μετὰ τὸν Δεύτερον Παγκόσμιον Πόλεμον σύμβολον τοῦ "Πυχροῦ Πολέμου" ἐγένετο, ἤδη τὸ εἰκοστὸν ἔτος κατέπεσεν· τοῦτο μὲν τὸ τεῖχος, τὴν πόλιν δίχα τέμνον, τοὺς τοῦ κοινονιστικοῦ Βερλὶν πολίτας ἐκ τῆς πόλεως ἐλευθέρως ἐξελθεῖν ἐκώλυεν, πολλοὶ δὲ ἀπέθανον φυγεῖν πειρῶντες. τέλος δέ, τῶν πολιτῶν ἐπαναστάντων, οἱ τοῦ κοινονιστικοῦ Βερλὶν ἄρχοντες τοὺς πολίτας εἴασαν ἐκ τῆς πόλεως ἐξελθεῖν, ἔπειτα δὲ καὶ τὸ κοινονιστικὸν σύστημα κατέπεσεν. τοῦ τείχους καταπεσόντος, ἡ πόλις οὕτω ταχέως αὖθις μία ἐγένετο ὥστε νῦν τὸ ἥμισυ τῶν πολιτῶν οὐκ ἴσασι ὅπου τὸ τεῖχος ἔκειτο. τήμερον δὲ πολλοὶ Εὐρωπαῖοι ἄρχοντες εἰς τὸ Βερλὶν συνῆλθον ἵνα ἐκείνης τῆς ἡμέρας μιμνήσκοιεν.

**Τὸν Καράζικ δικάζειν πειρῶσιν**

Οἱ δικασταὶ πειρῶσιν τὸν Ῥαδόβαν Καράζικ δικάζειν· ὅμως δέ, οὗτος ὁ ἄνθρωπος, ὃς ἐν τῷ τῆς Βοσνίας πολέμῳ πολλοὺς μουσουλμανικοὺς ἀνθρώπους ἀπέκτεινεν, τὴν δίκην ἀποφεύγειν πειρᾷ, λέγει δὲ ὅτι συνήγορος μὲν οὐκ ἔχει (οὐδένα γὰρ ἔτι εἵλετο), πλείονος δὲ χρόνου δεῖ ἵνα τὴν ἀπολογίαν σκευάζῃ, κτλ. τέλος δὲ οἱ δικασταὶ αὐτῷ συνήγορόν τινα βίᾳ δεδώκασι ὃν αὐτὸς ἑλέσθαι οὐκ ἐβούλετο. οὐδεὶς μὲν ἀκριβῶς οἶδε ὁπόσους ἀνθρώπους ὁ Καράζικ ἀπέκτεινεν (ἢ ἀποκτεῖναι ἐκέλευσεν), ὅμως δὲ λέγεται ὅτι περὶ τοὺ ὀκτωχιλίους, οὐ μόνον ἐν τῇ Σρεβρενίκῃ μαχόμενος ἀλλὰ καὶ τὸ Σαραιέβον πολιορκῶν.

**Ὁ Κροῦιφ ἄρχων τοῦ Καταλανικοῦ Ποδοσφαιριστικοῦ Συλλόγου γίγνεται**

Ὁ Ἰωάννης Κροῦιφ, ἐνδοξότατος ποδοσφαιριστὴς ὃς πάλαι ἐν τῇ Βαρκελόνῃ ἠργάσατο (πρῶτον μὲν ὡς ποδοσφαιριστής, ἔπειτα δὲ ὡς ἄρχων), ἄρχων τοῦ Ποδοσφαιριστικοῦ τῆς Καταλονίας Συλλόγου κατέστη· οὗτος δὲ ὁ σύλλογος οὐ πολλάκις διαπράττει, ἴσως δὶς καθ' ἐνιαυτόν, ὅμως δὲ ὁ Κροῦιφ ἰσχυρὸν σύλλογον ποιεῖν ἐν νῷ ἔχει, βούλεται γὰρ ἐπὶ ἄλλους ἰσχυροὺς συλλόγους (ὡς τὴν Γερμανίαν καὶ τὴν Ἀγγλίαν καὶ τὴν Ἰταλίαν) διαπράττειν· λέγουσι δὲ πολλοὶ ὅτι δεῖ νῦν αὐτὸν τῇ Καταλανικῇ γλώττῃ χρῆσθαι καίπερ Ὁλλανδικὸν ὄντα.

## Both Koreas attack each other / Creator of Kalashnikov, 90 years old / Mexicans want Blue Helmets

(15-11-09)

**Αἱ δύο Κωρέαι ἀλλήλαις ἐπιτίθενται**

Δύο τριήρεις, μία μὲν τῆς Βορεαίας Κωρέας, μία δὲ τῆς Μεσημβρινῆς Κωρέας, ἀλλήλαις ἐπέθεντο· τί δὲ ἡ αἰτία; τόδε ἐστίν· ἐν μέσῳ μὲν τῶν δυοῖν Κωρεῶν ἡ οὕτως καλουμένη "Ἑσπερινὴ Θάλαττα" κεῖται, ἑκατέρη δὲ χῶρα ταύτην τὴν θάλατταν ἀπαιτεῖ ὡς ἰδίαν οὖσαν, ἐνίοτε δὲ δυοῖν τριήρων ἐκεῖ συμπεσουσῶν οἱ ἐπιβᾶται ἀλλήλοις βέλη ῥίπτουσιν. ὡς τὸ εἰκός, τῶν τριηρῶν εἰς τὸν λιμένα ἐπαναπλευσασῶν, ἑκάτερος φερέφωνος εἶπεν ὅτι "ἡμεῖς μὲν τῆς ναυμαχίας οὐκ αἴτιοί ἐσμεν, ἠναγκάσθημεν δὲ ναυμαχεῖν, ὅμως δὲ νικήσαντες τοὺς πολεμίους ἐτρέψαμεν". ὅμως δὲ εἶπον πολλοὶ ὅτι, τοῦ Βᾶρακ Ὀβάμα εἰς τὸ Σεοῦλ οὐ πολλῷ ὕστερον ἀφίξεσθαι μέλλοντος, ὁ τῆς Βορεαίας Κωρέας ἄρχοντες τὴν ἑαυτῶν δύναμιν ἐκδεῖξαι βούλοιντο.

**Ὁ τὸ ὁπλοπολυβόλον "Καλασνικὸβ" συμπλάσας, ἤδη ἐνενήκοντα ἔτη γεγονώς**

Τίς περὶ τοῦ ἐνδοξοτάτου ὁπλοπολυβόλου "Καλασνικὸβ" καλουμένου οὔπωτε ἤκουσεν; τοῦτο γὰρ καθ᾽ ἡμέραν μὲν ἐν τοῖς κινηματογραφικοῖς ἔργοις ὁρῶμεν, πλεῖστοι δὲ τῶν στρατῶν τούτῳ τῷ ὅπλῳ (τῷ AK-47) χρῶνται· ὁ Μιχαὴλ Καλασνικόβ, ἄρτι ἤδη ἐνενήκοντα ἔτη γεγονώς, τοῦτο συνέπλασεν, τοῦ Δευτέρου Παγκοσμίου Πολέμου ἤδη ἀρξαμένου· τί δὲ λέγει νῦν ὁ εὑρέτης; τοῖς δημοσιογράφοις ἐρωτῶσιν εἶπε μὲν ὅτι μέγα φρονοίη περὶ τῷ ὁπλοπολυβόλῳ, διεβεβαιώσατο δὲ καὶ ὅτι δέοι τοὺς νεανίας οὕτως παιδεύειν ὥστε ὑπὲρ τῆς πατρίδος μάχεσθαι βούλεσθαι· πολλοὶ δέ, ταῦτα ἀκούσαντες, αὐτὸν ἐμέμψαντο ἅτε τὴν βίαν φιλοῦντα.

**Οἱ Μεξικάνοι κυανοῦς κόρυθας αἰτοῦσιν**

Οἱ πολῖται οἱ τῆς Μεξικανῆς πόλεως "Πόλις Χουάρηθ" καλουμένης κυανοῦς κόρυθας εἰς τὴν πόλιν δέχεσθαι βούλονται, λέγουσι γὰρ ὅτι οἱ Μεξικανοὶ φύλακες οὐχ οἷοί τ᾽ εἰσιν τοῖς φάρμακα καπήλοις μάχεσθαι, τούτου δὲ τοῦ ἐνιαυτοῦ ἤδη πλείονες ἢ δισχίλιοι ὑπὸ τῶν καπήλων ἀπέθανον, περὶ πέντε καθ᾽ ἡμέραν. ἄρτι μὲν φονεῖς τινες τέτταρας νεανίας

ἀπέκτειναν παρὰ διδασκαλείῳ στάντας, καίπερ πολλῶν παιδῶν ἐκεῖ παρόντων, εὐτυχῶς δὲ οὐδεὶς τῶν παιδῶν ἐβλήθη.

## Venice inhabitants leave / Spain pays ransom to pirates / Two fingers and a tooth of Galileo found

(22-11-09)

**Πολλοὶ τὴν Βενετίαν καταλείπουσιν**

Πολλοὶ τῶν ἐν τῇ Βενετίᾳ οἰκούντων συμβολικὸν τῆς πόλεως τάφον ἑτοιμάζουσιν, λέγουσι γὰρ ὅτι αὕτη ἡ πόλις ἀποθνῄσκει· τί γίγνεται; πολλοὶ τῶν ἐνοικούντων τὴν πόλιν εἴτε ἤδη κατέλιπον εἴτε καταλείψεσθαι μέλλουσιν. πάντες ἴσμεν ὅτι οὐ ῥᾴδιόν ἐστιν ἐν ταύτῃ τῇ πόλει οἰκεῖν, αἱ γὰρ ἀγυῖαι οὐκ ἀγυῖαί εἰσιν ἀλλὰ ὀχετοί, ἡ δὲ δίαιτα χαλεπή ἐστιν, καὶ δὴ καὶ τοῖς νεανίαις οὐκ ἔξεστιν οἴκημα ὠνεῖσθαι, τιμιώτατα γάρ εἰσιν ἢ ὥστε ὠνεῖσθαι δύνασθαι· διὰ δὲ ταῦτα νῦν μὲν μόνον τὸ ἥμισυ τῶν ἐνοικούντων ἐκεῖ μένουσιν ἢ τὸ πρότερον, οἱ δὲ ἔτι ἐν τῇ πόλει μένοντες φοβοῦνται μὴ ἡ πόλις ἔτι μᾶλλον μειῶται καὶ τοῦτον τὸν συμβολικὸν τάφον ἑτοιμάζουσιν ἵνα οἱ τῆς Ἰταλίας ἄρχοντες τοῦτο κωλύειν πειρῶνται.

**Ἡ Ἱσπανία τοῖς λῃσταῖς τὰ λύτρα τίνει**

Οἱ τῆς Ἱσπανίας ἄρχοντες τὰ λύτρα τοῖς λῃσταῖς Ἱσπανικὴν ναῦν Ἀλακράνα ὀνομαστὶ καταλαβοῦσιν ἔτεισαν· οἱ μὲν λῃσταὶ τὴν ναῦν παρὰ τὴν τῆς Σωμαλίας ἀκτὴν πλέουσαν βίᾳ κατέλαβον, ἔπειτα δὲ τοὺς ναύτας κλείσαντες χρήματα ᾔτησαν, ἠπείλησαν γὰρ αὐτοὺς ἀποκτείνειν ἐὰν τὰ χρήματα μὴ δέχωνται. οἱ δὲ τῆς Ἱσπανίας ἄρχοντες, τοῦτο τὸ ἀπείλημα ἀκούσαντες καὶ ὡς τάχιστα τὰ λύτρα τεῖσαι ὁμολογήσαντες, κρυφηδὸν ἔτεισαν· τῶν δὲ χρημάτων ἤδη ἐν ταῖς τῶν λῃστῶν χειρσὶν ὄντων, οἱ ναῦται ἠλευθερώθησαν. νῦν δὲ ἐν τῇ Ἱσπανίᾳ πολλὰ περὶ τούτου ἐν τῇ Βουλῇ λέγεται, ἡ μὲν γὰρ ἀρχὴ ἀρνεῖται τὰ λύτρα τεῖσαι, πάντες δὲ οἱ πολῖται ἴσασι τοὺς ἐν τέλει τείσαντας.

**Δύο τε δακτύλους καὶ ἕνα ὀδόντα τοῦ Γαλιλέως εὑρίσκουσιν**

᾿Αρχαιοκάπηλός τις ἐν τῇ Ἰταλίᾳ ἀρχαίαν θήκην ἐπρίατο· τὴν μὲν θήκην ἀνοίξας ηὗρε δύο τε δακτύλους καὶ ἕνα ὀδόντα ἔνδον ὄντας, τοῦτο δὲ τὸ εὕρημα ἐξετάσας ἐπύθετο τούς τε δακτύλους καὶ τὸν ὀδόντα τοῦ ἐνδοξοτάτου Γαλιλέως ὄντας. πρῶτον μὲν τὸν Γαλιλέα ἀποθανόντα ἐν χωρίῳ τινὶ ὀλίγου ἀξίῳ ἔθαψαν, ἔπειτα δὲ τῷ τῆς Τουσκανίας ἄρχοντι ἔδοξεν αὐτὸν ἐν βελτίονι τάφῳ θᾶψαι, ἐν δὲ ἐκείνῳ τῷ καιρῷ ἔνιοι τούς τε δακτύλους καὶ τὸν ὀδόντα ἀπὸ τοῦ νεκροῦ ἔλαβον, ἀλλὰ ταῦτα τὰ λείψανα συχνῷ χρόνῳ ὕστερον ἀπεβλήθη.

## Temples on sale / Australia to kill 6,000 camels / Terrorist atack in Russia

(29-11-09)

### Πράσιμοι νεῴ

Πάντες ἴσμεν ὅτι ἐν ἑκάστῃ πόλει πολλοὺς νεὼς οἱ πολῖται ἔχουσιν, οὐ μόνον δὲ ἐν ταῖς πόλεσι ἀλλὰ καὶ ἐν μικραῖς κώμαις καὶ ἐν τοῖς ἀγροῖς· ὅμως δὲ οἱ νῦν ἄνθρωποι οὐχ οὕτως θεὸν εἶναι νομίζουσιν ἢ τὸ πρότερον, διὰ δὲ τοῦτο οὐ πολλοὶ τοὺς νεὼς φοιτῶσιν. τούτων δὲ οὕτως ἐχόντων, θαυμάζονται νῦν οἱ τοῦ Βατικάνου ἄρχοντες πότερον δεῖ πάντας τοὺς νεὼς σῴζειν ἢ ἴσως ἔξεστιν ἐνίους πωλεῖν, τιμιώτατον γάρ ἐστι πάντας κατέχειν, λέγουσι δὲ ὅτι ἔνιοι τῶν νεῶν ἀεὶ κενοί εἰσιν. ἐνίους μὲν τούτων τῶν νεὼν ἀεὶ κενῶν ὄντων σῶσαι ἐθέλουσιν ἅτε ποικίλους ὄντας, ἄλλους δὲ ἔξεστι εἴτε πωλεῖν εἴτε κατασκάπτειν.

### Ἡ Αὐστραλία ἓξ χιλίους καμήλους ἀποκτείνειν βούλεται

Πρῶτον μὲν ἐν τῇ Αὐστραλίᾳ κάμηλοι οὐκ ἦσαν, ἔπειτα δὲ οἱ τὴν Αὐστραλίαν κατοικίσαντες καμήλους πολλοὺς ἐκ τῆς ᾿Αφρίκης εἰσήνεγκον, ἔδει μὲν γὰρ αὐτοὺς διὰ τῆς ἐρημίας ἐν μέσῳ τῆς Αὐστραλίας οὔσης πορεύεσθαι, ταῦτα δὲ τὰ ζῷα τὴν ἐρημὶαν διαβαίνειν ῥᾳδίως ἔχουσιν· νῦν δὲ οὗτοι οἱ κάμηλοι τοσοῦτοι γεγόνασι ὥστε ἐν πολλαῖς κώμαις νυκτὸς εἰς τὰς αὐλὰς εἰσέρχονται. ἀλλὰ διὰ τί τοῦτο νῦν ποιοῦσιν; διότι νῦν ἐν τῇ Αὐστραλίᾳ ἀνυδρία ἔνεστιν, οὐ γὰρ ὕει καὶ τὰ ζῷα τὰ ἐν τῇ ἐρημίᾳ ὄντα ἐκεῖ μὲν διψῶσιν, εἰς δὲ τὰς κώμας ὁρμῶνται ἵνα ὕδωρ εὕρωσιν. οἱ τῆς χώρας ἄρχοντες ἐβουλεύσαντο ἓξ χιλίους ἀποκτείνειν.

**Τρομοκρατικὴ προσβολὴ ἐν τῇ Ῥωσσίᾳ**

Τριάκοντα καὶ πέντε ἄνθρωποι ἀπέθανον ἐν τῇ Ῥωσσίᾳ, πολλοὶ δὲ ἄλλοι (περὶ ἑκατὸν καὶ τριάκοντα) ἐτρώθησαν. τὸ "Νιέβσκι Ἐξπρὲς" σιδηροδρόμος ἐστὶ ὃς ἐκ τῆς Μοσκβῆς εἰς τὸ Πετροβοῦργον πορεύεται, ἐν δὲ τούτῳ τῷ σιδηροδρόμῳ βόμβα ἀνετινάχθη· ὁ δὲ ἀνατιναγμὸς οὕτω δεινὸς ἦν ὥστε πᾶς ὁ σιδηροδρόμος ἐκ τῆς σιδηρᾶς ὁδοῦ ἐξέβη. οἱ ἐν τέλει οὐκ ἀκριβῶς ἴσασι τίνες τὴν βόμβαν εἰς τὸν σιδηροδρόμον εἰσέθεσαν, ὅμως δὲ ἐλπίζουσι τοῦτο διὰ τάχους εἰδέναι.

## 109 die by a fire in a restaurant / New film about the spy “Garbo” / High Council
(09-12-09)

**Ἑκατὸν καὶ ἐννέα ἄνθρωποι ἐν ἑστιατορίῳ ἀποθνῄσκουσιν**

Ἑκατὸν καὶ ἐννέα ἄνθρωποι ἀπέθανον χθὲς ἐν τῇ Μοσκοβίᾳ, ἑκατὸν δὲ καὶ τριάκοντα ἄλλοι βλαφθέντες ἐν νοσοκομείῳ νῦν κεῖνται· χθὲς τῆς νύκτὸς τὸ πῦρ παντελῶς κατέκαυσεν ἑστιατόριόν τι ἐν ᾧ πολλοὶ τότε ἐδείπνουν. οὐδεὶς ἀκριβῶς οἶδε διὰ τί αὕτη ἡ συμφορὰ ἐγένετο, πρῶτον μὲν γὰρ ἐλέγετο ὅτι τρομοκρατισταί τινες αἴτιοι εἴησαν, ἔπειτα δὲ ὁ τῆς ἀρχῆς φερέφωνος εἶπεν ὅτι πυροτεχνήματα βεγγαλικὰ τοῦτο ποιήσειεν. τοῦ μὲν πυρὸς ἀρχομένου, πάντες ταχέως τε καὶ ἀκόσμως πρὸς τὴν ἔξοδον ἔδραμον, ταραχῆς δὲ μεγίστης γενομένης οἱ ἔνδον ὄντες ἀλλήλους κατεπάτησαν, πολλοὶ οὖν ἀπέθανον ἅτε πιεζόμενοι, ἄλλοι δὲ ἅτε καπνὸν εἰσπνεύσαντες.

**Νέον κινηματογραφικὸν ἔργον περὶ τοῦ κατασκόπου "Γάρβω"**

Ὁ ἔνδοξος σκηνοθέτης Ἐδμοῦνδος Ῥὼκ νέον κινηματογραφικὸν ἔργον ἄρτι περὶ τοῦ "Γάρβω" ἐποίησεν, τοῦ Καταλανικοῦ κατασκόπου ὃς τὸν Ἵτληρ ἐξηπάτησε καὶ τὴν εἰς τὴν Νορμανδίαν ἀπόβασιν δυνατὴν ἐποίησεν. ἀλλὰ τίς ἦν ἀληθῶς ὁ "Γάρβω"; τὸ ἀληθὲς ὄνομα αὐτοῦ Ἰωάννης Πουιὼλ ἦν, ἐγγὺς δὲ τῆς Βαρκελόνης ᾤκει· τοῦ μὲν Δευτέρου Παγκοσμίου Πολέμου ἀρχομένου κατασκοπὸς τοῖς Γερμάνοις ἐγένετο, οἳ αὐτῷ τὴν ἐπωνυμίαν "Ἀραβὴλ"

ἔδοσαν· ἔπειτα δὲ καὶ τῷ Βρεταννικῷ MI5 κατάσκοπος ἐγένετο, οὗτοι δὲ αὐτὸν "Γάρβω" ὠνόμαζον, ἔλεγον γὰρ ὅτι βέλτιστος ὑποκριτὴς εἴη. τούτων οὕτως ἐχόντων, τοῖς μὲν Γερμάνοις ψευδῆ ἀγγέλματα ἤγγελλεν, τοῖς δὲ Βρεταννικοῖς ἀληθῆ· τέλος δὲ τὸν Ἵτληρ ἔπεισεν τοὺς συμμάχους οὐκ ἐν τῇ Νορμανδίᾳ ἀλλὰ ἐν τῇ Καλαῖς ἀποβήσεσθαι, αὕτη δὲ ἡ ἀπάτη τὴν ἀπόβασιν ῥᾴονα ἐποίησεν.

**Ὑψηλοτάτη Βουλή**

Οἱ τοῦ Νεπὰλ ἄρχοντες ἐκκλησίαν ἐποίησαν, οὐ μέντοι ἐν τῇ πόλει Κατμανδοῦ ἀλλὰ ἐπὶ τῷ τοῦ ὄρους Ἐβερὲστ βήματι, τῆς γὰρ γῆς θερμαινομένης αὐτοῖς τῇ τοῦ κλίματος μεταβολῇ ἐν τῷ φανερῷ ἐνίστασθαι ἔδοξεν, ἐκεῖσε οὖν ἑλικοπτέρῳ ἐλθόντες τὴν ἐκκλησίαν ἐποιήσαντο. ὅμως δὲ ῥᾴδιον αὐτοῖς ἅτε οὐκέτι νεανίαις οὖσιν οὐκ ἐγένετο, ψῦχος μὲν γὰρ ἦν (διὰ τοῦτο καὶ ἰατροί τινες παρῆσαν, ἵνα οἱ βουλευταὶ μὴ κινδυνεύοιεν), ἀλλήλων δὲ ἀκούειν ἐπίπονον ἦν τοῦ ἀνέμου ἕνεκα.

## Corpse of Tassos Papadopoulos stolen / Inhabitants of Hiroshima and Nagasaki criticise Obama’s speech / Island of Tuvalu does not want to disappear

(13-12-09)

**Τὸν τοῦ Τάσσου Παπαδοπούλου νεκρὸν κλέπτουσιν**

Τὸ πέρυσιν ἀπέθανεν ὁ Τάσσος Παπαδόπουλος, πρότερος τῆς Κύπρου πρόεδρος, ὁ δὲ νέκρος αὐτοῦ ἐτάφη ἐν τῇ τῆς Δευτέρας νεκροπόλει, ἐγγὺς τῆς Νικοσίας κειμένῃ· προχθὲς δέ τις τὸν τύμβον ἀνοίξας τὸν νεκρὸν ἔκλεψεν. λέγουσιν οἱ φύλακες ὅτι ὅστις τὸν τάφον ἀνοίξειεν οὐδὲν ἔρρηξεν, ὁ μὲν οὖν σκοπὸς ἀνατροπὴ οὐκ ἦν, μόνον δὲ τὸν νεκρὸν κλέψαι. ὁ Τ. Π. τῆς Κύπρου πέντε ἔτη ἦρξεν, αὐτοῦ δὲ ἀρχόντος ἡ χώρα εἰς τὴν Εὐρωπαικὴν Ἕνωσιν εἰσέβη.

**Οἱ τῆς Ἱρωσίμης καὶ Ναγασάκεως πολῖται τὸν τοῦ Ὀβάμα λόγον καταμέμφονται**

Ὁ τῶν ΕΑΠ πρόεδρος Βᾶρακ Ὀβάμα, τὸ Νοβὲλ Ἆθλον τὸ τῆς Εἰρήνης δεξάμενος, λόγον ἐποίησε περὶ τὰ τῆς οἰκουμένης πράγματα, ἐν δὲ τούτῳ τῷ λόγῳ διεβεβαιώσατο ὅτι ἐνίοτε ὁ

πόλεμος ἀναγκαῖος εἴη ἵνα τὴν εἰρήνην εἰς τὸν μέλλοντον χρόνον φυλάττειν δυνατὸν ᾖ. οἱ τῆς Ἱρωσίμης καὶ Ναγασάκεως πολῖται (ἔνιοι αὐτῶν στρατιῶται οἳ τῷ Δευτέρῳ Παγκοσμίῳ Πολέμῳ ἐπεβιῶσαν), ταῦτα ἀκούσαντες, τὸν λόγον κατεμέμψαντο, ἔλεγον γὰρ ὅτι πρῶτον μὲν ὁ πρόεδρος τὰ ἀτομικὰ ὅπλα ἐξορίζειν προβάλλει, ἔπειτα δὲ πολεμεῖν προτίθησιν· ἄλλοι δὲ τὸν λόγον ἐπῄνεσαν λέγοντες ὅτι ὁ Ὀβάμα τὸν ἔνδοξον λόγον "εἰ τὴν εἰρήνην βούλει, παρασκεύαζε τὸν πόλεμον" πάλιν εἶπεν.

**Ἡ Τουβάλου νῆσος ἀφανίζεσθαι οὐ βούλεται**

Ἡ Τουβάλου νῆσος, ἐν τῷ Εἰρηνικῷ Ὠκεανῷ κειμένη, μόνον πέντε μέτρα ἐκ τῆς θαλάττης ἐξαίρεται, ἐὰν οὖν τὸ τῆς θαλάττης ἰσόπεδον ἐξαίρηται ἅτε τῶν κρυστάλλων διατηκομένων ἡ νῆσος τετταράκοντα ἐτῶν ἀφανισθήσεται· τοῦτο ὁ τοῦ Τουβάλου πρόεδρος ἐν τῇ Κοπεγχάγῃ εἶπεν, ἐκεῖ γὰρ οἱ φερέφωνοι πασῶν τῶν χωρῶν συνῆλθον ἵνα ἀλληλοῖς περὶ τὴν τῆς γῆς θερμασίαν διαλέγωνται καὶ ὅπως τοῦτο κωλύειν δυνατὸν ᾖ. ὁ δὲ τοῦ Τουβάλου πρόεδρος κλαίων δὴ πάντας τοὺς ἀκούοντας ηὔξατο τὴν νῆσον σῶσαι.

## Israel to build more settlements / Strange theft in Auschwitz / Iranian soldiers occupy an oil well

(19-12-09)

**Τὸ Ἰσραῆλ πλείονας κατοικήσεις κατοικίσει**

Ὁ τῶν ἐξωτερικῶν ὑπουργὸς τοῦ Ἰσραῆλ, ὁ Λιέβερμαν, λέγει ὅτι ἡ ἀρχὴ πλείονας κατοικήσεις κατοικίσει τῶν δεκαμήνων σπονδῶν τελευτησασῶν. τὸ μὲν πέρυσιν ἡ τοῦ Ἰσραῆλ ἀρχὴ κατοικήσεις ἐν τῇ Δυτικῇ Ὄχθῃ κατοικοῦσα ἐπαύσετο, ὁ γὰρ τοῦ Ἰσραῆλ πρόεδρος Νετανιάχου καὶ ὁ Παλαιστινὸς ἡγεμὼν Ἄββας συνθήκας ποιεῖσθαι ἐπειρῶντο, νῦν δὲ τοῦτο οὐκ ἐξὸν διεβεβαιώσατο ὁ Λιέβερμαν ὅτι τοῖς Παλαιστίνοις διαλέγεσθαι οὐκ αὖθις πειρήσοιντο. ἄλλα τε καὶ ἡ κατοικησέων ἵδρυσις νέας συνθήκας ποιεῖσθαι κωλύει.

**Διαφέρουσα κλοπὴ ἐν τῷ Αὔσβιζ**

Πάντες οἱ ἄνθρωποι ἴσασιν ὅ τι τὸ Αὔσβιζ ἦν· τόπος ἐν τῇ Πολονίᾳ ἐν ᾧ ἑκατομμυρία Ἰουδαίων ἀγρίως ἀπέθανον ἐν τῷ Δευτέρῳ Παγκοσμίῳ Πολέμῳ· οὗτος ὁ τόπος σύμβολον ἐγένετο τῆς τῶν ἀνθρώπων ὠμότητος τοῖς ἄλλοις ἀνθρώποις, κατὰ δὲ ἐνιαυτὸν μυρίαδες τουριστῶν ἐκεῖσε προσέρχονται. ἐπὶ δὲ τῆς εἰσόδου ὑπόμνημά τι παρῆν ἐν ᾧ ἀναγνῶναι ἐξῆν "ὁ πόνος ἐλευθεροῖ". τοῦτο δὲ τὸ ὑπόμνημα ἔκειτο μέν, οὐκέτι δὲ κεῖται, χθὲς γὰρ αὐτὸ ἔκλεψαν. τί βουλόμενος ὁ κλέψας νῦν τοῦτο ἔχει;

**Ἰράνιοι στρατιῶται πετρελαίου φρέαρ καταλαμβάνουσιν**

Ἐν τῷ ὅρῳ τῷ μεταξὺ τοῦ Ἰρᾶκ καὶ τοῦ Ἰρᾶν πετρελαίου φρέαρ κεῖται, οὐδετέρα δὲ χώρα αὐτῷ χρῆται, ἀλλὰ προχθὲς στρατηγός τις Ἰράκιος εἶπεν ὅτι Ἰράνιοι στρατιῶται διὰ τοῦ ὅρου διαβάντες καὶ τὸ φρέαρ ἐξαίφνης καταλαβόντες ὄρυγμά τι περὶ αὐτοῦ ὀρύξαιεν καὶ κατέχοιεν. αὗται αἱ δύο χῶραι ἤδη ὀκτὼ ἔτη ἀλλήλαις ἐμαχήσαντο (ἐν τούτῳ τῷ πολέμῳ ἑκατομμύριον ἀνθρώπων ἀπέθανον) καί, καίπερ τοῦ πολέμου ἤδη τελευτησάσης τὸ εἰκοστὸν ἔτος, ἔτι καὶ νῦν περὶ ἐνίων τοῦ ὅρου τόπων ἐνίοτε ἅμιλλαν ποιοῦνται. ὅμως δὲ νῦν τοῦτο τὸ πρόβλημα κατὰ τὸ εἰκὸς ἄλλου τινὸς πολέμου αἴτιον οὐκ ἔσται.

## Prime Minister Robinson to leave power / Terrible earthquake in Haiti / Owner of Cypriot printing house killed / Maradona again in stadia

(16-01-10)

**Ὁ πρωθυπουργὸς Ῥοβίνσων ἐκ τῆς ἀρχῆς**

Ὁ τῆς Βορεαίας Ἰρλανδίας πρωθυπουργὸς Πέτρος Ῥοβίνσων εἶπε ὅτι ἐκ τῆς ἀρχῆς ἓξ ἑβδομάδας ἐκστήσοιτο τῆς ἑαυτοῦ γυναικὸς ἕνεκα· ἡ μὲν γὰρ τοῦ πρωθυπουργοῦ γυνή, ἑξήκοντα ἔτη γεγονυῖα, λάθρᾳ ἐραστὴν εἶχεν, νεανίαν τινὰ μόνον εἴκοσι ἔτη γεγονότα, ὁ δὲ χρήματα ἐκ τοῦ δημοσίου διὰ τῆς γυναικὸς ἔκτησεν· ἔπειτα δέ, τῶν δημοσιογράφων τοῦτο τοῖς πολίταις ἀποδειξάντων, ἔδοξε τῷ πρωθυπουργῷ ἐκ τῆς ἀρχῆς εἰς χρόνον τινὰ ἐκστῆναι.

**Δεινὸς σεισμὸς ἐν τῇ Αἰτῇ**

Δεινότατος σεισμὸς ἐν τῇ Αἰτῇ ἐγένετο, ἄλλοθί τε καὶ ἐν τῇ πρωτευούσῃ Πόρτο Πρίνζῃ· τοῦ μὲν σεισμοῦ γιγνομένου περὶ πεντήκοντα χίλιοι ἄνθρωποι ἐν ἀκαρεῖ ἀπέθανον, οἱ πλεῖστοι ἔνδον τῶν καταπιπτόντων οἰκοδομημάτων τότε ὄντες· νῦν δὲ τὸ κεφάλαιόν ἐστι τοὺς ἔτι ὑπὸ τῶν καταπεπτωκότων οἰκοδομημάτων κειμένους σῶσαι, πολλοὶ γὰρ ἔτι ζῶσιν.

**Τὸν Κυπριακοῦ ἐκδοτικοῦ ἄρχοντα ἀποκτείνουσιν**

Ὁ τοῦ ἐκδοτικοῦ Δίας ἄρχων καὶ τοῦ τε καναλίου Σῖγμα καὶ τῆς ἐφημερίδος Σημερινῆς κύριος ἀπέθανεν ἐγγὺς τῆς ἑαυτοῦ οἰκίας ἐν τῇ Νικοσίᾳ ὑπὸ δυοῖν ἀνθρώπων· οὐκέτι δὲ οὐδεὶς οἶδε τίνες οἱ φονεῖς εἰσιν ἢ τὴν τοῦ φόνου αἰτίαν. ὁ μὲν Ἄντης Χαζηκωστής, τετταράκοντα καὶ τρία ἔτη γεγονώς, ἐκ τοῦ αὐτοκινήτου ἐξέβαινεν οὐδὲν ὑποπτεύων, τότε δὲ ἐξαίφνης δύο ἄνθρωποι ἐπὶ μοτοκυκλήτῃ ἥκοντες αὐτὸν ἐπυροβόλησαν.

**Ὁ Μαραδόνα αὖθις ἐν τοῖς σταδίοις**

Πάντες ἴσμεν τί ἐγένετο· ὁ μὲν Μαραδόνα, τοῖς δημοσιογράφοις μάλιστα ὀργισθείς, αὐτοὺς ὠνείδισεν, οἱ δὲ τοῦ ΦΙΦΑ ἄρχοντες τὸν ἔνδοξον Ἀργεντινὸν δύο μῆνα ἐκ τῶν σταδίων ἐξέβαλον· νῦν δέ, τῶν δυοῖν μηνῶν ἤδη ἐξελθόντων, ἔξεστι τῷ Μαραδόνα αὖθις εἰς τὰ στάδια εἰσελθεῖν· ὅμως δὲ δεῖ αὐτὸν τὴν ἑαυτοῦ γλῶτταν κατέχειν.

## Survivor found after 10 days / German judges want Videla arrested / Indian government increases survelliance in airports / Pirates free Greek ship

(23-01-10)

**Ἐπιβιοῦντα εὑρίσκουσι μετὰ δέκα ἡμέρας**

Οἱ Ἰσραηλινοὶ στρατιῶται, εἰς τὴν Αἰτὴν μετὰ τὸν σεισμὸν ὡς ὠφελήσοντες προσελθόντες, νεανίαν εἴκοσι καὶ δύο ἔτη γεγονότα ὑπὸ τῶν πτωμάτων κείμενον ηὑρήκασιν· οὗτος δὲ ὁ νεανίας ἐγγὺς τῶν τοῦ προέδρου βασιλείων ἔκειτο, ἄνευ ὕδατος. ἐξ οὗ μὲν ἤρξαντο ἀνθρώπους ἐκ τῶν πτωμάτων ἐξενεγκεῖν, ἑκατὸν καὶ τριάκοντα ἀνθρώπους ἔτι βιοῦντας ηὑρήκασιν, ὅμως δὲ οἱ ἄρχοντες οὐκ ἐλπίζουσιν οὐδένα ἄλλον ἔτι βιοῦντα εὑρήσειν.

**Οἱ Γερμάνοι δικασταὶ βούλονται τὸν Βιδέλα κατέχειν**

Οἱ τῆς Νυρεμβέργης δικασταὶ τὸν πρόσθιον τῆς ᾽Αργεντινής πρόεδρον Βιδέλα, νῦν ἤδη ὀγδοήκοντα καὶ τέτταρα ἔτη γεγονότα, κατέχειν βούλονται ὡς Γερμανὸν πολίτην τινὰ ἀποκτείναντα. ὁ μὲν Γερμανὸς πολίτης, Θωμὰς Σταβόβικ ὀνόματι, τότε εἴκοσι ἔτη γεγονώς, ἐν τῇ ᾽Αργεντίνῃ, τοῦ Βιδέλα ἄρχοντος, ἠφανίσθη, τὸν δὲ νεκρὸν οὐδέποτε ηὗρον· νεωστὶ δὲ τὸν νεκρὸν ηὗρον, νῦν οὖν ἔξεστι κατὰ τοὺς νόμους τὸν τότε ἄρχοντα εἰς δίκην καλεῖσθαι.

**Ἡ τῆς Ἰνδίας ἀρχὴ τοὺς ἀερολιμένας ὡς μάλιστα φυλάττει**

Τρομοκράτου τινὸς καταληφθέντος καὶ ὁμολογήσαντος ὅτι ἀεροσκάφος τι βίᾳ λαβεῖν ἐν νῷ ἔχοιεν, τῇ τῆς Ἰνδίας ἀρχῇ ἔδοξε πάντας τοὺς ἀερολιμένας εἰς φυλακὴν ὡς μάλιστα καταστῆσαι· οἱ μὲν ἀερολιμένες ἤδη ἐν φυλακῇ ἦσαν, νῦν γὰρ ἑορταὶ κατὰ τὴν χώραν γίγνονται, μετὰ δὲ τοῦτο ἔτι καὶ μᾶλλον τὴν φυλακὴν ηὔξησαν, ἄλλοθί τε καὶ ἐν τῇ Καζεμίρᾳ.

**Οἱ λῃσταὶ Ἑλληνκὴν ναῦν λύουσιν**

Ἡ ναῦς Μᾶραν Κένταυρος, πετρέλαιον μεταφέρουσα, ἐγγὺς τῆς Σωμαλινῆς παραλίας κατελήφθη ἤδη τὴν ὀγδοὴν ἑβδομάδα, νῦν δὲ οἱ λῃσταί, τὰ λύτρα δεξάμενοι, τήν τε ναῦν καὶ τοὺς ἐπιβάτας ἔλυσαν. οἱ μὲν ἐπιβάται νῦν πρὸς τὴν Νέαν Ὀρλεάνην (ἐν τῇ Λουιζιάνῃ) πορεύονται, ἡ δὲ ναῦς πρὸς τὸ Δοῦρβαν πλεῖ.

## Both Koreas shoot each other again / Blair speaks about Iraq / No more French soldiers to go to Afghanistan / Putin to sell weapons to Libya

(31-01-10)

**Αἱ δύο Κωρέαι αὖθις πρὸς ἀλλήλας πυροβολοῦσιν**

Αἱ δύο Κωρέαι, ἥ τε Βορεαία καὶ ἡ Μεσημβρινή, αὖθις πρὸς ἀλλήλας ἐπυροβόλησαν· ὅμως δὲ οὐδεὶς ἐτρώθη, οὔτε γὰρ πρὸς πόλιν τινὰ οὔτε πρὸς στρατόπεδόν τι ἠκόντισαν ἀλλὰ πρὸς τὴν ἔρημον θάλατταν "Ξανθὴν Θάλατταν" καλουμένην· αἱ δύο Κωρέαι περὶ ταύτης τῆς θαλάττης ἤδη πάλαι ἅμιλλαν ποιοῦνται, ἐκεῖ γὰρ ὁ ὅρος κεῖται, ἀλλὰ ἡ Βορεαία Κωρέα περὶ τούτου τοῦ ὅρου οὐχ ὁμολογεῖ καὶ μετακινεῖν πειρᾷ.

**Ὁ Βλαῖρ περὶ τοῦ Ἰρᾶκ λέγει**

Ὁ Βλαῖρ, ὁ πρόσθιος Βρεταννικὸς Πρωθυπουργός, τοῖς δικασταῖς περὶ τοῦ πρὸς τὸ Ἰρᾶκ πολέμου ἐρωτῶσιν εἶπε χθὲς ὅτι οὗτος ὁ πόλεμος ἐκ τοῦ δικαίου γένοιτο ἅτε τοῦ Σαδδᾶμ χημικὰ ὅπλα ἑτοιμάζειν βούλοιτο· καὶ δὴ καὶ διεβεβαιώσατο ὅτι νῦν τὸ αὐτὸ βούλευμα βουλεύοιτο εἰ ὁ Σαδδᾶμ ἔτι ἄρχοι. νῦν δὴ ἐν τῇ Βρεταννικῇ Βουλῇ διαλέγονται περὶ τούτου τοῦ πολέπου, πότερον σὺν τῷ δικαίῳ ἐγένετο ἢ οὔ.

**Οὐδεὶς ἄλλος Γαλλικὸς στρατιώτης εἰς τὸ Ἀφγανιστᾶν εἶσιν**

Ὁ τῶν ἐξωτερικῶν ὑπουργὸς τῆς Γαλλίας εἶπεν ὅτι πλείονας στρατιώτας εἰς τὸ Ἀφγανιστᾶν οὐκ ἀποπέμψοι· νῦν μὲν τρισχίλιοι καὶ πεντακόσιοι Γαλλικοὶ στρατιῶται ἐν ἐκείνῃ τῇ χώρᾳ τοῖς συμμάχοις συστρατεύουσιν, τῇ δὲ τῆς Γαλλίας ἀρχῇ, καίπερ τοῦ Ὀβάμα πλείονας πέμψαι ἐν νῷ ἔχει ἵνα πρὸς τοὺς Ταλιβάνους μάχωνται, ἔδοξεν μὴ πλείονας ἐκεῖσε ἀποπέμψαι.

**Ὁ Ποῦτιν ὅπλα τῇ Λιβύῃ πωλήσει**

Ὅ τε Ποῦτιν καὶ ὁ Γαδδάφι συμβόλαιον πεποιήκασιν ἵνα ἡ Ῥωσσία ὅπλα (ἄλλα τε καὶ μαχητικὰ ἀεροσκάφη καὶ τεθωρακισμένα ἅρματα καὶ πύραυλα) τῇ Λιβύῃ πωλῇ, αὕτη γὰρ ἡ χώρα τὸ στράτευμα παντελῶς ἀνανεοῦν βούλεται. λέγουσι δὲ οἱ ἀναλυσταὶ ὅτι ἡ τῆς Λιβύης ἀρχὴ δύο χίλια ἑκατομμύρια δολάρων ταύτῃ τῇ βουλῇ ἀναλώσει.

**NASA will not return to the Moon / British MPs must give back money / China threatens USA / North Korea releases American citizen**

(07-02-10)

**Ἡ ΝΑΣΑ εἰς τὴν σελήνην οὐκ ἐπάνεισι**

Ὁ τῆς ΝΑΣΑ φερέφωνος εἶπεν ὅτι πλείονας ἀνθρώπους πρὸς τὴν σελήνην οὐ πέμψοιεν· καίπερ τὸ πέρυσι τοῦ προέδρου Ὀβάμα εἰπόντος ὅτι πάλιν ἀστροναύτας ἐκεῖ πέμψειν ἐλπίζοι, ἡ ΝΑΣΑ ἐξετάσας ὁπόσου τοῦτο γενήσοιτο ἐβουλεύσατο ταύτην τὴν προαίρεσιν καταλιπεῖν· ὅμως δὲ πάντες τόδε ἐρωτῶσιν· εἰ τὸ πρότερον, ἤδη πάλαι, τοῦτο δυνατὸν ἐγένετο, διὰ τί νῦν, τῆς τεχνολογίας τοσοῦτον αὐξηθείσης, τὸ αὐτὸ οὐ ῥᾷον εἶναι δοκεῖ;

**Δεῖ τοὺς Βρετανικοὺς βουλευτὰς χρήματα ἀποδοῦναι**

Τὸ πέρυσιν οἱ Βρετανικοὶ δημοσιογράφοι τοῖς πολίταις πολλὰ καὶ κακὰ ἔλεγον περὶ τῶν βουλευτῶν οἳ δημοσία χρήματα ἐδέξαντο, οὗτοι γὰρ οἱ βουλευταὶ τούτοις τοῖς χρήμασι ἰδίαις δαπάναις ἐχρήσαντο· νῦν δέ, ἀκριβοὺς ἐξετάσεως γενομένης, δεῖ κατὰ τοὺς δικαστὰς πολλοὺς βουλευτὰς ταῦτα τὰ χρήματα ἀποδοῦναι.

**Ἡ Σίνα ταῖς ΗΑΠ ἀπειλεῖ**

Ὁ Βάρακ Ὀβάμα, πρόεδρος τῶν ΗΑΠ, τῷ Δαλαὶ Λάμα συνελθεῖν βούλεται ἵνα περὶ τοῦ Τίβετ διαλέγωνται, καὶ δὴ καὶ ἐν νῷ ἔχει ὅπλα τοῖς τοῦ Ταιβὰν ἄρχουσιν ἀποδόσθαι, ἡ δὲ Σίνα τούτῳ τῷ βουλεύματι ἐνέστη, ὁ γὰρ Δαλαὶ Λάμα τὸ Τίβετ ἀπὸ τῆς Σίνης ἀφιστάναι πειρᾷ ἐξ οὗ ἡ Σίνα εἰς τὸ Τίβετ εἰσέβαλεν· περὶ δὲ τῆς ὅπλων τῷ Ταιβὰν πράσεως, ἡ Σίνα τὸ Ταιβὰν νομίζει Σινικὴν χώραν εἶναι, ταῖς δὲ ΗΑΠ ἀπειλεῖ τὰ συμβόλαια νεωστὶ συγγεγραμμένα παῦσαι.

**Ἡ Βορεαία Κορέα Ἀμερικανὸν πολίτην ἐλευθεροῖ**

Ὁ Ῥοβέρτος Πάρκ, Ἀμερικανὸς πολίτης, κατελήφθη τῷ Δεκεμβρίῳ μηνὶ ἐγγὺς τοῦ ὅρου ἅτε παρὰ τοὺς νόμους εἰς ταύτην τὴν χῶραν εἰσβάς· τοῖς Κορεάνοις φύλαξιν ἐρωτῶσι τί βουλόμενος εἰς τὴν χώραν εἰσέλθοι ἀπεκρίνατο ὅτι τοῖς Ἀμερικανοῖς πολίταις περὶ τῆς ἐν

τῇ Βορεαίᾳ Κορέᾳ κακῆς διαίτης ἀγγέλλειν βούλοιτο καὶ τῷ ἐκεῖ συστήματι ἐνίστασθαι. νῦν δὲ ἔδοξε τοῖς ἐκείνης τῆς χώρας ἄρχουσι τὸν Πὰρκ ἐλευθεροῦν.

## Obama congratulates Mandela / New film about wolfman / NATO launches attack against Talibans / Lecturer kills three other lecturers in Alabama

(14-02-10)

### Ὁ Ὀβάμα τὸν Μανδέλα μακαρίζει

Ἤδη τὸ εἰκοστὸν ἔτος ὁ Νέλσων Μανδέλα ἠλευθερώθη εἴκοσι καὶ ἕπτα ἔτη ἐν τῷ δεσμωτηρίῳ μείνας. ὁ μὲν Μανδέλα κατελήφθη καὶ κατεγνώσθη ἅτε ὑπὲρ τῶν ἀνθρωπίνων δικαίων πρὸς τοὺς τότε ἄρχοντας ἐπαναστὰς οἳ τοὺς πολίτας κατὰ τὸ χρῶμα ἔσχιζον· ἔπειτα δέ, ἤδη ἐλευθερωθείς, τῆς Μεσεμβρινῆς Ἀφρικῆς πρόεδρος αὐτίκα ἐγένετο. χθὲς δὲ ὁ Βᾶρακ Ὀβάμα τῷ Μανδέλα διὰ τοῦ τηλεφώνου διελέχθη ἵνα μακαρίζοι τε καὶ τὴν πρὸς ἀλλήλους φιλίαν ἰσχυρίζοιτο.

### Νέον κινηματογραφικὸν περὶ τὴς λυκανθρωπίας ἔργον

Πάντες ἴσμεν ὅ τι ὁ τῆς λυκανθρωπίας μῦθός ἐστιν· ἄνθρωπός τις διὰ αἰτίας τινὸς λύκος γίγνεται, ἔπειτα δὲ αὖθις ἄνθρωπος γίγνεται, ὅμως δὲ οὐ πολὺν χρόνον οὕτως μένει, πάλιν γὰρ λύκος γενήσεται ἐὰν ἡ σελήνη φαίνηται, κτλ., πολλὰ δὲ κινηματογραφικὰ ἔργα περὶ τούτου τοῦ μύθου ἐποίηθη. νῦν δὲ ὁ ἔνδοξος κινηματογραφικὸς ὑποκριτὴς Βενύκιος δὲλ Τόρω νέον ἔργον πεποίηκεν, ἐν ᾧ ὁ λυκάνθρωπος, ὡς ὁ Βενύκιος τῷ ὄντι, ὑποκριτής ἐστι ὃς τὰ τοῦ Σαίξπηρ θεατρικὰ ἔργα ἐν τῷ Λονδίνῳ ὑποκρίνεται.

### Τὸ NATO νέαν προσβολὴν πρὸς τοὺς Ταλιβάνας ὁρμᾷ

Ἐξ οὗ ὁ Ἀμερικανὸς πρόεδρος Ὀβάμα τριάκοντα χιλίους πλείονας στρατιώτας εἰς τὸ Ἀφγανιστᾶν ἐξέπεμψεν, αὕτη ἐστὶ ἡ μεγίστη προσβολὴ πρὸς τοὺς Ταλιβάνας. οἵ τε Ἀμερικανοὶ καὶ οἱ σύμμαχοι τὸ Μαρχᾶ ἑλεῖν πειρῶνται, αὕτην γὰρ τὴν πόλιν, ἐγγὺς τοῦ

πρὸς τῷ Πακιστᾶν ὅρου οὖσαν, οἱ Ταλιβάνες ἔτι κατέχουσιν. οἵ τε τῶν Ἀμερικανῶν καὶ τῶν συμμάχων φερέφωνοι λέγουσιν ὅτι τοὺς Ταλιβάνας ἀπροσδοκέτους ηὑρήκασιν.

**Διδασκάλισσα ἄλλους τρεῖς διδασκάλους ἐν τῇ Ἀλαβάμῃ ἀποκτείνει**

Τρεῖς μὲν βιολογίας διδάσκαλοι οἳ ἐν τῷ τῆς Ἀλαβάμης Πανεπιστημίῳ ἐδίδασκον ἀπέθανον χθὲς ὑπὸ ἄλλης τινὸς διδασκαλίσσης, ἄλλοι δὲ τρεῖς διδάσκαλοι ἐβλάβησαν. αὕτη ἡ διδασκάλισσα, Ἄμυ Βίσωπ ὀνόματι, εἰσβᾶσα εἰς οἴκημά τι τοῦ πανεπιστημίου οὗ ἄλλοι διδάσκαλοι σύνοδον ἐποιοῦντο, οὐδὲν λέγουσα ἐξαίφνης ἐπυροβόλησεν. λέγεται δὲ ὅτι, οὐκέτι ἐξὸν αὐτῇ ἐν τούτῳ τῷ πανεπιστημίῳ διδάσκειν, τοῦτο ἐποίησεν.

## China summons American ambassador / Military take-over in Niger / UN fears Iran may produce nuclear bomb / Looking for Caravaggio's corpse

(21-02-10)

**Ἡ Κίνα τὸν Ἀμερικανὸν πρεσβευτὴν ἀνακαλεῖ**

Οἱ τῆς Κίνης ἄρχοντες τὸν τῶν ΗΑΠ πρεσβευτὴν ἀνεκάλεσαν, βούλονται γὰρ ἐπιτίμησίν τινα φανερῶς δεῖξαι. ὁ μὲν τῶν ΗΑΠ πρόεδρος Ὀβάμα τῷ Δαλαῖ Λάμα (τῷ τοῦ Τίβετ ἡγεμόνι) συνῆλθεν, καίπερ τῆς Κίνης ἀεὶ ταύτῃ τῇ συνόδῳ ἀνθισταμένης, νῦν δὲ ἡ Κίνα τὰς ΗΑΠ μέμφεται ὅτι τὸ Τίβετ ὠφελεῖν πειρῶνται. ἐξ οὗ τὸ Τίβετ αὐτόνομον γενέσθαι πειρᾷ, οἱ τῆς Κίνης ἄρχοντες ὀργίζονται ἐὰν ἄρχων τις ἄλλης τινὸς χώρας τῷ Δαλαῖ Λάμα διαλέγηται.

**Τὸ τοῦ Νίγηρ στράτευμα τὴν ἀρχὴν σφετερίζεται**

Εἰς τὴν Βουλὴν ἐξαίφης τε καὶ ἀπροσδοκέτως εἰσβὰν οὗ οἱ βουλευταὶ συλλογὴν ἐποιοῦντο, τὸ τῆς Νίγηρ στράτευμα τὴν ἀρχὴν ἐσφετέρισται. οἱ νέοι ἄρχοντες τὴν πολιτείαν ἄκυρον πεποιήκασιν, καὶ δὴ καὶ οὐκ ἐῶσι διὰ τοῦ ὅρου διαβαίνειν οὔτε εἰς τὴν χώραν οὔτε ἐκ τῆς χώρας. ὁ μὲν πρόσθιος πρόεδρος ἐπειράσατο τὴν ἑαυτοῦ ἀρχὴν πλείονα χρόνον παρὰ τοὺς νόμους ἐκτείνειν, ταύτην δὲ τὴν πεῖραν πυθόμενοι οἱ στρατηγοὶ τῷ προέδρῳ ἀνέστησαν.

**Ὁ ΟΗΕ φοβεῖται μὴ τὸ Ἰρᾶν ἀτομικὴν βόμβαν ἐργάζηται**

Ὁ ΟΗΕ, πολὺν χρόνον νομίζων τὸ Ἰρᾶν ἀτομικὴν ἐνέργειαν ἐργάζεσθαι αὐτῇ πολεμικῶς χρῆσθαι οὐ βουλόμενον, διαβεβαιοῦται νῦν ὅτι αὕτη ἡ χώρα ἀτομικὴν βόμβαν ἐργάζεται· ταύτης δὲ τῆς ἀγγελίας γενομένης, ἡ Ἀμερικανὴ ἀρχὴ ἄλλας χώρας πεῖσαι πειρᾷ ὅτι δεῖ τὸ Ἰρᾶν ζημιοῦν, ὁ γὰρ τοῦ Ἰρᾶν ἄρχων εἶπεν ἐνίοτε ὅτι δέοι τὸ Ἰσραῆλ παντελῶς καθελεῖν, διὰ δὲ τοῦτο οὐδεὶς οἶδε τί ποιήσει ἐάν ποτε τοιαύτην βόμβαν ἔχῃ.

**Τὸν τοῦ Καραβαγίου νέκρον ζητοῦσιν**

Ἰταλιάνοι ἐξετασταὶ ἐν τῇ νεκροπόλει τῇ τοῦ Πόρτο Ἐρκόλη ἐξορύττοντες περὶ εἴκοσι νέκρους ηὑρήκασιν, λέγουσι δὲ ὅτι ἴσως ὁ τοῦ ἐνδόξου ζωγράφου Καραβαγίου νέκρος ἐκεῖ κεῖται. ὁ Καραβάγιος ἤδη τὸ τετρακοσιοστὸν ἔτος ἀπέθανεν· πρῶτον μὲν ἐν ἄλλῃ νεκροπόλει ἐτάφη, ἔπειτα δὲ ὁ νέκρος εἰς ταύτην τὴν νεκρόπολιν οὗ νῦν οἱ ἐξετασταὶ ἐξορύττουσιν μετηνέχθη.

## Israel to build mroe houses in East Jerusalem / Earthquake in Chile / Gaddafi wants holy war against Switzerland / Who was really Rocky Balboa?

(28-02-10)

**Τὸ Ἰσραῆλ πλείονας οἰκίας ἐν τῇ Ἑῴᾳ Ἱερουσαλὴμ οἰκοδομήσειν μέλλει**

Τοῖς μὲν τῆς Ἰσραῆλ ἄρχουσι δοκεῖ ἑξακοσίας νέας οἰκίας ἐν τῇ Ἑῴᾳ Ἱερουσαλὴμ οἰκοδομεῖν, τῷ δήμῳ οὗ οἱ Παλαιστίνοι τὴν πρωτεύουσαν καταστῆσαι βούλονται ἐάν ποτε ἡ Παλαιστίνη αὐτονόμη γένηται, ὁ δὲ Παλαιστίνος πρόεδρος Μαχμοῦδ Ἀββᾶς εὐθὺς ἀπεκρίνατο ὅτι τοῖς Ἰσραηλίνοις οὐ διαλεχθήσοιτο πλείονας οἰκίας οἰκοδομοῦσιν. ἔπειτα δὲ ὁ Ἀμερικανὸς πρόεδρος τοῦτο τὸ βούλευμα κατεμέμψατο, εἶπε γὰρ ὅτι τοῦτο τὴν ἐν τῇ πόλει ἅμιλλαν αὐξήσοι.

**Σεισμὸς ἐν τῇ Χιλῇ**

Δεινὸς σεισμός, βαθμὸν ὀκτὼ ἔχων κατὰ τὸ τοῦ Ῥίχτηρος σύστημα, ἐν τῇ Χιλῇ ἐγένετο· τὸ μὲν τοῦ σεισμοῦ ἐπικέντρον ἐν τῇ θαλάττῃ ἔτυχεν ὄν, περὶ τριακόσια χιλιομέτρα τῆς πρωτευούσης ἀπέχον, ἡ δὲ τοῦ δυστυχήματος διαμονὴ λεπτὸν ἦν, καὶ ἑβδομήκοντα καὶ ὀκτὼ ἄνθρωποι ἀπέθανον· μετὰ δὲ τὸν σεισμὸν οἱ πολῖται ταχέως ἐκ τῶν οἰκημάτων ἐξέβησαν, φοβούμενοι μὴ τὰ οἰκήματα ἅτε τῷ σεισμῷ βλαβέντα καταπέσοιεν.

**Ὁ Γαδδάφι βούλεται "ἅγιον πόλεμον" τῇ Ἑλβετίᾳ**

Ὁ Λύβιος ἡγεμὼν Γαδδάφι πάντας τοὺς τῆς ἑαυτοῦ χώρας πολίτας καὶ πάντας τοὺς μουσουλμάνους ἐπώτρυνε πρὸς τὸν τῇ Ἑλβετίᾳ ἅγιον πόλεμον, αὕτη γὰρ ἡ χώρα οὐκ ἐάσει πλείονα μιναρὰς ἀναστῆσαι, εἶπε δὲ ὅτι τοιοῦτος πόλεμος τρομοκρατισμὸς οὐκ εἴη ἄν, τοῖς γὰρ ἀθέοις μάχοιντο ἄν. τοῦτο δὲ τὸ πρὸς τὴν Ἑλβετίαν μῖσος οὐ νέον ἐστίν, υἱὸς γὰρ τοῦ Γαδδάφι ἐν ταύτῃ τῇ χώρᾳ ὑπὸ τῶν φυλάκων τὸ πέρυσιν κατείρχθη ἅτε κακῶς προσενεχθεὶς ἐργάτῃ τινί.

**Τίς ἦν ἀληθῶς ὁ Ρόκι Βαλβόα;**

Τίς τὸ κινηματογραφικὸν ἔργον "Ῥόκι" οὐκ ἐθεάσατο; Ἰταλιανὸς πύκτης ὃς τῷ πάσης τῆς οἰκουμένης βελτίστῳ πυκτεύει. ἆρα τίς ἦν ὁ πύκτης ᾧ ὁ Σταλλὼν παραδείγματι ἐχρήσατο; νῦν τοῦτο ἤδη ἴσμεν· ὁ Ἀμερικανὸς πύκτης Τσοὺκ Οὐέπνηρ, ὃς τῷ Κασίῳ Κλεῖ ἐπύκτευσεν, τῷ τότε πάσης τῆς οἰκουμένης βελτίστῳ· καίπερ νικηθείς, ὁ Οὐέπνηρ πάντα τὸν ἀγῶνα ἀνθίστατο, ὁ δὲ Σταλλὼν ἐκεῖ παρῆν καί, αὐτὸν ἰδών, ἐνενόησε τὴν βίβλον "Ῥόκι" γράφειν (ἔπειτα δὲ τὸ κινηματογραφικὸν ἔργον ποιεῖν).

## Fight in the Esplanade of the Mosques / Karadzic declares on Srebrenica / Ashton, criticised by everybody / Gordon Brown declares on Irak

(07-03-10)

**Ἅμιλλα ἐν τῇ τῶν τζαμίων ἀγορᾷ**

Ἡ τῶν τζαμίων ἀγορὰ πάλιν μαχητικὸν ἐν μέσῳ τῆς πόλεως πεδίον ἐγένετο· τῶν τε Μουσουλμάνων καὶ τῶν Ἰσραηλινῶν ἐκεῖ μετὰ τὴν ἑκατέρων λατρείαν συγχωρησάντων καὶ ἀλλήλοις ἐπιτιθεμένων, οἱ Ἰσραηλινοὶ φύλακες εἰς τὴν ἀρογὰν ἀφικόμενοι τὰς δύο στάσεις ἀποχωρίζειν ἐπειρῶντο· οἱ μὲν Ἰσραηλινοὶ τὴν ἀγορὰν ἄκοντες βραδέως κατέλιπον, οἱ δὲ Μουσουλμάνοι ἐκεῖ μένοντες τοῖς φύλαξι ἐπέθοντο. ἔπειτα δὲ ἡ ἅμιλλα, τὸ πρότερον μόνον ἅμιλλα οὖσα, ἀληθὴς μάχη ἐγένετο, μετὰ δὲ τὴν μάχην περὶ ἑκατὸν ἄνθρωποι ἐκεῖ βεβλαμμένοι ἔκειντο.

**Ὁ Καράδζικ περὶ τῆς Σρεβρενίκης διηγεῖται**

Τῆς περὶ τοῦ Καράδζικ δίκης ἤδη ἀρξαμένης, οἱ δικασταὶ αὐτοῦ κατηγοροῦσι τὸ ὀκτὼ χιλίους Μουσουλμάνους ἐν τῇ Σρεβρενίκῃ ἐκ περιττοῦ ἀποκτεῖναι· τὴν κατηγορίαν ἀποφεύγειν πειρῶν, ὁ Καράδζικ λέγει ὅτι αὐτὸς μὲν οὐκ ἐκέλευσεν τούτους ἀποκείνειν, οἱ δὲ κοινοὶ τάφοι ἐν οἷς ὀκτὼ χίλιοι νεκροὶ κεῖνται πολλάκις ἀνεῴχθησαν καὶ πάλιν ἐκλείσθησαν, διὰ δὲ τοῦτο τοὺς νέκρους πολλάκις ἐκ τάφων τινῶν εἰς ἄλλους τάφους ἐφέροντο.

**Πάντες τὴν Ἄστονα μέμφονται**

Πέντε χῶραι, ἥ τε Γερμανία καὶ ἡ Σουηδία καὶ ἡ Βελγία καὶ ἡ Ὀλλανδία καὶ ἡ Γαλλία, τὴν Ἄστονα, τὴν νέαν ἄρχουσαν τῆς Εὐρωπαίης διπλωματίας, μέμφονται καίπερ μόνον τὴν ἑκατοστὴν ἡμέραν ἐν τῇ ἀρχῇ οὖσαν, λέγουσι γὰρ ὅτι ἱκανὴν μὲν ἐμπειρίαν οὐκ ἔχει, τὰς δὲ συνόδους φεύγει· ἐπεὶ ὁ Ἀντόνιος Βλαῖρ, ὁ πρόσθιος τῆς Ἀγγλίας προωθύπουργος, τὴν Ἄστονα πρόεδρον τῆς ἐν τῷ Λονδίνῳ Εὐγενῶν Βουλῆς κατέστησεν, αὐτὴ εὐγενὴς κατέστη, ἐκ δὲ τούτου ταχέως ἐν τῇ πολιτικῇ ἀνέβη.

**Ὁ Γόρδων Βραῦν περὶ τοῦ Ἰρᾶκ ἐξηγεῖται**

Οἱ Βρετανικοὶ δικασταὶ ἐξετάζουσι περὶ τοῦ πρὸς τὸ Ἰρᾶκ πολέμου, πότερον δίκαιον ἐγένετο ἢ οὔ· τούτοις περὶ τούτου ἐρωτῶσι ἀπεκρίνατο ὁ Γ. Βραῦν ὅτι ἐκεῖνο τὸ βούλευμα (τὸ τῷ Ιρᾶκ ἐπιθέσθαι) κατὰ τοὺς νόμους γένοιτο, ὁ γὰρ Σαδδᾶμ τὰ τοῦ ΟΗΕ προστάγματα

ἀεὶ φεύγοι· ὅμως δὲ ὡμολογήσατο ὅτι, καίπερ τοῦ ἐν τῷ πολέμῳ νικᾶν ῥαδίου γενομένου, τὰ μετὰ τὸν πόλεμον προβλήματα (τὴν εἰρήνην ἐν ἐκείνῃ τῇ χώρᾳ βεβαιοῦν) χαλεπώτατα εἴη.

## Writer Miguel Delibes dies / Papoulias chosen President of Greece / Turkey summons Swedish ambassador / Beheaded vikings found in England

(14-03-10)

**Ὁ συγγραφεὺς Μιχαὴν Δελίβης ἀποθνῄσκει**

Ὁ Μιχαὴλ Δελίβης, ἔνδοξος Ἱσπανικὸς συγγραφεύς, ἐν τῇ πόλει Βαλλαδολὶδ προχθὲς ἀπέθανεν, ὀγδοήκοντα καὶ ἐννέα ἔτη γεγονώς. τοῦ δὲ Δελίβης ἐξαίφνης νόσῳ περιπεσόντος, οἱ ἰατροὶ τοὺς υἵους, ἐν ἄλλῃ τινὶ πόλει οἰκούντας, μετεπέμψαντο. ὁ μὲν Δελίβης ἐνδοξοτάτας βίβλους ἔγραψεν, οἷον "Πέντε ὥρας μετὰ τοῦ Μαρίου" καὶ "Ἡ τῆς κυπαρίσσου σκία δολιχή ἐστιν", αὗται δὲ καὶ ἄλλαι βίβλοι πρὸς πλείονας ἢ εἴκοσι γλώττας μετεφράσθησαν.

**Ὁ Κάρολος Παπούλιας αὖθις Προέδρος τῆς Ἑλλάδος καθίσταται**

Ὁ Κάρολος Παπούλιας, ὀγδοήκοντα ἔτη γεγονώς, αὖθις Πρόεδρος τῆς Ἑλλάδος χθὲς ᾑρέθη, ὁ δὲ τῆς χώρας Πρωθυπουργὸς Γεώργιος Παπανδρέου καὶ πᾶσα ἡ Βουλὴ ἐν τῇ τελετῇ παρῆσαν. δέον αὖθις προέδρον ἑλέσθαι, οἵ τε νῦν ἄρχοντες καὶ οἱ τῇ ἀρχῇ ἀνθιστάμενοι περὶ τοῦ Παπουλίου ταχέως τε καὶ παντελῶς ὡμολογήσαντο, οὗτος γὰρ ἐν μὲν τῷ Δευτέρῳ Παγκοσμίῳ Πολέμῳ ἐπὶ τοὺς Γερμανοὺς ἐμαχήσατο, ἔπειτα δέ, δικτατωρείας τινὸς ἐν τῇ Ἑλλάδι γενομένης, πρὸς τὴν Γερμανίαν φυγὼν ἐκεῖ ἐπεμελήσατο ὅπως ἡ δημοκρατία πάλιν εἰς τὴν Ἑλλάδα ἐπανέλθοι.

**Ἡ Τουρκία τὸν Σουηδικὸν πρεσβευτὴν ἀνακαλεῖ**

Τοῦ Ἐρδογᾶν πρὸς τὴν Σουηδίαν πορεύσεσθαι (οὐκέτι) μέλλοντος, ἡ τῆς Τουρκίας ἀρχὴ τὸν Σουηδικὸν πρεσβευτὴν ἀνεκάλεσεν, ἡ γὰρ τῆς Σουηδίας Βουλὴ ἄρτι ἀγγελίαν πεποίηκε περὶ τὸν ἤδη πάλαι φόνον τῶν Ἀρμενίων ᾗ τὴν Τουρκίαν αἰτιᾶται. τοῦ δὲ Ἐρδογᾶν μετὰ ταύτην

τὴν ἀγγελίαν τὴν πορείαν εὐθὺς καταλύσαντος, ἡ τῆς Τουρχίας ἀρχὴ οὐ μόνον τὸν Σουηδικὸν ἐν ταῖς Ἀθήναις πρεσβευτὴν ἀνεκάλεσεν ἀλλὰ καὶ τὸν ἑαυτῆς πρεσβευτὴν ἐκ τῆς Σουηδίας εἰς τὴν Τουρκίαν ὡς τάχιστα ἐπανελθεῖν ἐκέλευσεν.

**Κεφαλοτομηθέντας βικίγγους ἐν τῇ Ἀγγλίᾳ εὑρίσκουσιν**

Πεντήκοντα καὶ εἷς νέκροι ἐν τῇ Ἀγγλίᾳ ἐγγὺς τοῦ Δόρσετ ἀπὸ τύχης ηὑρέθησαν ὑπὸ ἐργατῶν τινων ἐν τῷ ἀγρῷ ὀρυττώντων. πάντες μὲν οἱ νέκροι κεφαλοτομηθέντες ἦσαν, λέγουσι δὲ οἱ ἀρχαιολόγοι ὅτι εἰκότως βικίγγοι ἦσαν οἳ τοῦ Μεσαίονος εἰς τὴν Ἀγγλίαν ἥκοντες ὡς εἰσβαλούντες κατελείφθησαν καὶ ἔπειτα ξίφει ἀπέθανον.

## American girl crosses Atlantic alone / Anglo-French nuclear submarines? / Ban ki Moon arrives at Israel / Sandstorm in Beijing

(20-03-10)

**Ἀμερικανὴ κόρη τὸν Ἀτλαντικὸν μόνη διαπλεῖ**

Ἡ Κάτιε Σπότζ, εἴκοσι καὶ δύο ἔτη γεγονυῖα, τὸν Ἀτλαντικὸν δυοῖν μηνοῖν διέπλευσεν, ἐν δὲ τούτῳ τῷ πλῷ ἐχρήσατο μικρῷ ἀεροδυναμικῷ πλοίῳ ὃ αὐτὴ ἐπενόησεν. εἰς τὸ τέλος ἀφικομένη τοῖς δημοσιογράφοις ἐρωτῶσιν εἶπεν ὅτι δέκα ὥρας καθ' ἡμέραν ἤρεττεν. ἡ δὲ Κάτιε πλείονα μὲν ἢ τέτταρα χίλια καὶ πεντακόσια χιλιομέτρα μόνη ἔπλευσεν, τοῦτο δὲ ἐποίησεν ἵνα χρήματα τοῖς δεομένοις κτῷτο.

**Ἀγγλο-Γαλλικὰ ἀτομικὰ ὑποβρύχια;**

Κατὰ τὴν Βρεττανικὴν ἐφημερίδαν "Ὁ Φύλαξ", ἡ Γαλατία τῇ Βρεττανίᾳ παρέσχηκε τοῖς ἑκατέρας χώρας ἀτομικοῖς ὑποβρυχίοις ὁμοῦ χρῆσθαι, τούτοις γὰρ τοῖς ὑποβρυχίοις κατὰ μίαν ἑκάστην χρῆσθαι τιμιώτατόν ἐστιν. ὅμως δὲ ἐν τῷ παρόντι ὁ Γόρδων Βραῦν τὴν πρόθεσιν ἀπέωσεν. ἑκάτερα χῶρα τέτταρὰ ὑποβρύχια ἔχει ἀτομικὰ πύραυλα ἔχοντα.

**Ὁ Βάν κι Μοῦν εἰς τὸ Ἰσραῆλ ἀφικνεῖται**

Ὁ τοῦ ΟΗΕ πρόεδρος, ὁ Βάν κι Μοῦν, εἰς τὸ Ἰσραῆλ ἀφῖκται, ἔπειτα δὲ πρὸς τὴν Δυτικὴν Ὄχθην καὶ τὴν Ῥαμάλλαν πορεύεσθαι ἐν νῷ ἔχει. ὁ Μοῦν ἐμέμψατο τὰς Ἰσραηλίνας ἐν τῇ Δυτικῇ Ὄχθῃ κατοικίας ὡς τὴν εἰρήνην κωλυούσας καὶ τόν τε Σιμῶνα Πέρες καὶ τὸν Ἀββᾶς ἐπώτρυνεν ἵνα περὶ τὴν εἰρήνην πράττοιντο, νῦν γὰρ αἱ συνθῆκαι ἄκυροι γεγόνασιν.

**Ἀμμώδης θύελλα ἐν τῷ Πεκίνῳ**

Ἡ ἄμμος ἡ τῶν ἐρήμων εἰς τὸ Πεκίνον τῷ ἀνέμῳ ἀφικομένη τὰς τῆς πρωτευούσης ἀγυιὰς κατεκάλυψεν, πᾶσα δὲ ἡ πόλις ἐντὸς ξανθῆς νεφέλης κεῖται. οἱ δὲ ἄρχοντες ἠγγέλκασιν τοῖς πολίταις ὅτι δεῖ οἴκοι μένειν καὶ μὴ ἐξιέναι, ἅτε τῆς ἀέρος νῦν οὐ ὑγιοῦς οὔσης. αὗται αἱ ἔρημαι, ἐν τῇ τῆς Κίνης μεσογαίᾳ κειμέναι, κατ᾽ ἐνιαυτὸν αὐξάνουσιν, καίπερ τῶν ἀρχώντων ταύτην τὴν αὔξησιν κωλύειν πειρώντων.

## Former KGB spy buys “The Independent” / Health care bill to be voted again / Heroine’s king arrested / Bin Laden threatens Americans again

(27-03-10)

**Πρόσθιος ΚΓΒ-κατάσκοπος τὴν ἐφημερίδαν "Τὸ Αὐτόνομον" ὠνεῖται**

Ὁ ἔνδοξος πλουσιώτατος Ἀλέξανδρος Λέβεδεβ, πρόσθιος ΚΓΒ-κατάσκοπος, τὴν Βρεταννικὴν ἐφημερίδαν "Τὸ Αὐτόνομον" ὠνήσατο. αὕτη δὲ οὐχ ἡ πρώτη Βρεταννικὴ ἐφημερίδα ἐστὶν ἣν ὁ Λέβεδεβ ὠνεῖται, ἔχει γὰρ καὶ ἄλλην ἣν προῖκα διαδίδωσιν, ἴσως δὲ καὶ ταύτην προῖκα διαδώσει. δεῖ δέ σε νῦν τὸν νοῦν παρέχειν, τόδε γὰρ θαυμάσιόν ἐστι· ἐπὶ πόσῳ ὁ Λέβεδεβ ταύτην τὴν ἐφημερίδαν ὠνήσατο; ἡ ἀπόκρισις γελοῖόν ἐστιν, μόνον γὰρ ἐπὶ ἑνὶ εὔρῳ ὠνήσατο.

**Δεῖ περὶ τὴν τῆς ὑγιείας ἐπανόρθωσιν πάλιν ψηφίζεσθαι**

Ὁ τῶν ΗΑΠ Βάρακ Ὀβάμα νεωστὶ τὴν τῆς ὑγιείας ἐπανόρθωσιν ὑπεγράψατο, ὅμως δὲ βουλευταί τινες, ταύτῃ τῇ ἐπανορθώσει ἀνθιστάμενοι, εἶπον ὅτι ἡ ἐπανόρθοσις οὐ κατὰ τοὺς νόμους βουλευθείη, δεήσει οὖν αὖθις ἐν τῇ Βουλῇ περὶ αὐτῆς ψηφίζεσθαι. αὕτη ἡ ἐπανόρθωσις πρῶτος σκοπὸς τοῦ Ὀβάμα ἐγένετο ἐξ οὗ οὗτος εἰς τὴν Λευκὴν Οἰκίαν ἀφίκετο.

**Τὸν τῆς ἡρωίνης βασιλέα καταλαμβάνουσιν**

Ὁ Μεξικανὸς πολίτης Ἰωσὴφ Ἀντώνιος Νεβρέδα, τριάκοντα καὶ ἓξ ἔτη γεγονώς, ὃς τριῶν ἐτῶν βασιλεὺς τῶν ἡρωίνην εἰς τὰς ΗΑΠ παρανόμως εἰσφερόντων ἐγένετο, ὑπὸ τῶν Μεξικανῶν φυλάκων κατελέφθη· περὶ τούτου τοῦ ἐπικινδύνου λαθρεμπόρου λέγεται ὅτι κατὰ μῆνα εἰς τὰς ΗΑΠ διακόσια χιλιόγραμμα ἡροίνης εἰσέπεμπεν, καὶ δὴ καὶ οὐ μόνον ἡρωίνην ἀλλὰ καὶ ἄλλα φάρμακα ἀπὸ τῆς Κολομβίας πεμφθέντα.

**Ὁ Βῖν Λάδην τὴν Ἀμερικανὴν ἀρχὴν πάλιν ἀπειλεῖ**

Ὁ τῆς Ἀλ Καΐδα ἄρχων, ὁ πλουσιώτατος Βῖν Λάδην, λέγει ὅτι ἀποκτενεῖ ὅντινα Ἀμερικανὸν πολίτην ἂν καταλάβῃ ἐὰν ἡ Ἀμερικανὴ ἀρχὴ τὸν ὑπεύθυνον τῶν τρομοκρατικῶν ἐν τῇ Νέᾳ Ὑόρκῃ προσβολῶν θανατώσῃ, λέγει γὰρ ὅτι ὁ Ὀβάμα τὸ αὐτὸ καὶ ὁ Βουῖς πράττει. ταῦτα ἀκούσαντες, διαβεβαιοῦνται οἱ Ἀμερικανοὶ ἄρχοντες ὅτι δεῖ τοὺς πολίτας μάλιστα φυλάττεσθαι, ὁ γὰρ Β. Λάδην εἰκότως πειράσει νῦν τινας ἀποθέσθαι. οἱ τὸν ὑπεύθυνον τῶν προσβολῶν δικάσαντες βούλονται αὐτοῦ θάνατον καταδικάσαι.

## Airports in Europe closed / Earthquake in China /Berlusconi criticises Saviano / Placido Domingo to sing again

(17-04-10)

**Οἱ ἐν τῇ Εὐρώπῃ ἀερολιμένες κατακλείονται**

Ἡφαιστείου τινὸς ἐν τῇ Ἰσλανδίᾳ ἐκραγέντος, μεγίστη νεφέλη καπνοῦ τε καὶ μικροτάτων λίθων πρὸς τὴν ἤπειρον προχωρήσασα ταχέως διεσκεδάσατο· τούτου δὲ γενομένου, τοῖς

ἀεροσκάφεσι οὐκ ἐξὸν πέτεσθαι, ἐπικίνδυνον γάρ ἐστιν διὰ τούτων τῶν νεφέλων διαπέτεσθαι ἅτε μικροτάτους λίθους ἐχουσῶν, πλεῖστοι τῶν Εὐρωπαίων ἀερολιμένων κατεκλείσθησαν, ἄλλοι τε καὶ οἱ ἐν τῇ ἄρκτῳ κείμενοι, οὐδεὶς δὲ οἶδεν ὁπότε αὖθις πέτεσθαι ἔξεσται.

**Σεισμὸς ἐν τῇ Σίνῃ**

Πλείονες ἢ ἑξακόσιοι ἄνθρωποι ἐν τῇ Σίνῃ ἀπέθανον ὑπὸ δεινοῦ σεισμοῦ τὸ ἐπίκεντρον ἐγγὺς τοῦ Τίβητ ἔχοντος. ἡ δὲ τῆς χώρας ἀρχὴ στρατιώτας μὲν σῖτόν τε καὶ φάρμακα τοῖς πολίταις ἔχοντας ἔπεμψεν, ἔπεμψε δὲ καὶ ἄλλα τε καὶ σκήνη, τῶν γὰρ οἰκημάτων ὡς ἐπὶ τὸ πολὺ διαφθαρέντων δεῖ νῦν τοὺς πολίτας ἔξω καθεύδειν. ἥ τε Ἰαπωνία καὶ ἄλλαι χῶραι παραυτίκα ὠφέλειαν παρεῖχον, ὅμως δὲ ἡ Σινικῇ ἀρχὴ τὴν ὠφέλειαν ἀπέωσεν, λέγουσι γὰρ ὅτι οὐδενὸς δέονται.

**Ὁ Βερλουσκόνι τὸν συγγραφέα Σαβιάνον μέμφεται**

Πάντες ἴσμεν ὅτι ὁ Ἰταλιανὸς συγγραφεὺς Ῥοβέρτος Σαβιάνος βίβλον ἔγραψεν (ἡ ἐπιγραφὴ αὐτῆς "Γομώρρα" ἐστίν) ἐν ᾗ περὶ τῆς Μαφίας ἐξηγεῖται, κατὰ δὲ τὸν Ἰταλιανὸν πρωθυπουργὸν αὕτη ἡ βίβλος τὴν τῆς Μαφίας φήμην διασκεδάννυσι τε καὶ αὐξάνει. ὅμως δὲ ἡ Μαφία τῷ Βερλουσκόνι οὐχ ὁμονοεῖ, δεῖ γὰρ τὸν Σαβιάνον φύλακας ἀεὶ περὶ ἑαυτοῦ ἔχειν ἐξ οὗ ταύτην τὴν βίβλον ἔγραψεν διότι ἡ Μαφία αὐτὸν ἀποκτεῖναι βούλεται ἅτε μυστηρία περὶ ἑαυτῶν διασκεδάσαντα.

**Ὁ Πλάκιδος Δομίγγω αὖθις ᾄδει**

Ὁ ἔνδοξος Ἱσπανικὸς ᾠδὸς Πλάκιδος Δομίγγω, ἤδη ἑξήκοντα καὶ ἐννέα ἔτη γεγονώς, αὖθις πρὸς τὰς σκηνὰς ἐπάνεισι καίπερ χαλεπωτάτην χειρουργίαν παθών (χαλεπῶς γὰρ ἐνόσει), ἐν δὲ τῇ τοῦ Μιλᾶν Σκάλῃ αὖθις ἀναφανεῖται ὅπεραν τοῦ Βέρδι ᾄδων. τὸν μὲν Π. Δ. νοσοῦντα ἔδει ἓξ ἑβδομάδας ἡσυχίαν τε ἄγειν καὶ μὴ πονεῖν, ὅμως δὲ νῦν οὐ τενόρος ἔσται, βαρύτονος δέ, μετὰ γὰρ τὴν νόσον ἡ φωνὴ αὐτοῦ μετεβάλετο.

## Egyptian senator proposes shooting at demonstrators / Polish citizens to choose new president / Iceland closes its airports / Saint George: roses and books

(24-04-10)

**Αἰγύπτιος βουλευτὴς συμβουλεύει τοῖς διαδηλώταις πυροβολεῖν**

Ἐν τῇ Αἰγύπτῳ οἱ πολῖται τοῖς ἄρχουσι συνεχῶς διαδηλῶσιν, βούλονται γὰρ μεταβολάς τινας εἰς τὴν πολιτείαν εἰστιθέναι πρὶν τὰς ἀρχαιρεσίας τοῦ θηροῦς γενέσθαι. τῆς δὲ βουλῆς περὶ τούτου διαλεγομένης, βουλευτής τις τοῦ προέδρου Ὅσνι Μουβάρακ εἶπεν ὅτι δέοι οὐ μόνον τοὺς διαδηλώτας διασκεδάσαι ἀλλὰ καὶ πυροβολεῖν. τούτων δὲ τῶν ἡμερῶν οἱ μὲν φύλακες πολλοὺς διαδηλώτας βίᾳ τε καὶ παρὰ τοὺς νόμους συνέλαβον, πολλοὶ δὲ πολῖται ὑπὸ τῶν φυλάκων ἐτρώθησαν.

**Οἱ τῆς Πολονίας πολῖται νέον πρόεδρον αἱρήσονται**

Τοῦ τῆς χώρας προέδρου καὶ πολλῶν τῶν ἀρχόντων συμφορᾷ τῆς προτέρας ἑβδομάδος ἀποθανόντων, δεῖ νῦν τοὺς τῆς Πολονίας πολίτας νέον πρόεδρον ἑλέσθαι. οἱ νῦν εἰς χρόνον τινὰ ἐν τέλει ἄρτι εἶπον ὅτι ἀρχαιρεσίαι τῇ εἰκοστῇ τοῦ Ἰουνίου ἔσοιντο. τῆς προτέρας ἑβδομάδος οἱ πολῖται τοὺς τῇ συμφορᾷ ἀποθανόντας παγίως ἐπένθησαν.

**Ἡ Ἰσλανδία τοὺς ἑαυτῆς ἀερολιμένας κατακλείει**

Πάντες ἀκηκόαμεν περὶ τῆς νεφέλης μικροὺς λίθους ἐχούσης καὶ ὅπως δέοι τοὺς ἐν τῇ Εὐρώπῃ ἀερολιμένας κατακλείειν· ὅμως δέ, καίπερ τοῦ ἡφαίστου τοῦ ταύτην τὴν νεφέλην ἐξιέντος ἐν τῇ Ἰσλανδίᾳ ὄντος, τοὺς ἐκεῖ ἀερολιμένας οὐκ ἔδει κατακλείειν, ὁ γὰρ ἄνεμος τὴν νεφέλην πρὸς τὴν ἤπειρον προσέφερεν. νῦν δέ, τοῦ ἀνέμου τελευτήσαντος, ἡ νεφέλη ἐκεῖ μένει, δεῖ οὖν νῦν τοὺς μὲν ἐν τῇ Ἰσλανδίᾳ ἀερολιμένας κατακλείειν, τοὺς δὲ ἐν τῇ Εὐρώπῃ ἀνοιγνύναι.

**Ἅγιος Γεώργιος· ῥόδα καὶ βίβλοι**

Χθὲς ἐν τῇ Καταλονίᾳ οἱ πολῖται τὴν τοῦ Ἁγίου Γεωργίου ἡμέραν κατὰ τὸ νομιζόμενον ἑόρτασαν, πάλαι γὰρ ὁ Ἅγιος Γεώργιος, τὸν τελευταῖον δράκοντα ἀποκτείνας, προστάτης τῆς Καταλονίας ἐγένετο. τί δὲ δεῖ τῇ εἰκοστῇ καὶ τρίτῃ τοῦ Ἀπριλίου ποιεῖν; κατὰ τὸ νομιζόμενον δεῖ ταύτῃ τῇ ἡμέρᾳ τὸν μὲν ἄνδρα ῥόδον τῇ γυναικί, τὴν δὲ γυναῖκα βίβλον τῷ ἀνδρὶ δοῦναι. χθὲς ἐν τῇ Καταλονίᾳ ἓξ ἑκατομμυρία ῥόδων ἐπωλήθη.

## Greek crisis: the fear that it may reach Europe (by Georgia Konidari)

(01-05-10)

**Ἑλληνικὴ κρίσις· δέος ὀγκούμενον μὴ τῇ Εὐρώπῃ ἐπέλθῃ**

Δομίνικος Στράος - Κάχνος ἐπιστατῶν τοῦ Διεθνοῦς Νομισματικοῦ Ταμείου ἔφη ἑκάστης ἡμέρας διελθούσης, ἐν ᾗ ἐπαμφοτερίζουσα ἡ Γερμανία τὴν Ἑλλάδα μὴ δανεισθῆναι εἴργει, κινδυνεύειν ἐπὶ τὴν Εὐρώπην διαδοθῆναι τὴν τῆς Ἑλλάδος κρίσιν.

Ἀγγέλα Μέρκελα σαφῶς ἔλεγεν τοῖς συμπρᾶξαί τι δεομένοις ὅτι οὐκ εἰς λόγους βούλοιτο ἀφικέσθαι ἢ μὴ ἀτέγκτων μέτρων λαβούσης τῆς Ἑλλάδος περὶ τῶν ἡμετέρων δεινῶν πραγμάτων. Ἀπήγγειλε δὲ ὅτι οὐκ ἔδει ἴσως τὴν Ἑλλάδα ὑπὸ τῆς Νομισματικῆς Ἐνώσεως δεκτὴ γενέσθαι οὕτω ῥᾳδίως.

Ἰάννος Παπαντωνίου προέτρεψε τὴν Εὐρώπην κατὰ τάχος μὲν βοηθεῖν, μόνην δὲ τὴν Ἑλλάδα μὴ καταλείπειν, χρόνου γὰρ δεῖ φείδεσθαι ἵνα μὴ τὸ κοινὸν ἀργύριον προσβληθῇ.

## Immense cave found in Pascua Island / Pakistan launches two missiles / Elections in the UK

(08-05-10)

**Μέγιστον σπήλαιον ἐν τῇ Πάσκῃ νήσῳ εὑρίσκουσιν**

Οἱ ἀρχαιολόγοι μέγιστον σπήλαιον ἐν τῇ Πασκούῃ νήσῳ ηὑρήκασιν πλεῖον ἢ ἑπτὰ χιλιομέτρα τὸ μέγεθος ὄν, τοσοῦτο δὲ ἐστιν ὥστε τοῖς ἀρχαιολόγοις οὐκέτι πᾶν ἐξετάζειν ἔξεστιν, δεῖ γὰρ νέον σκεῦος δέχεσθαι. αὕτη ἡ νῆσος, καίπερ μικρὰ οὖσα, τρία ἡφαιστειακὰ συστήματα ἔχει, ταῦτα δὲ τὰ ἡφαίστεια πολλοὺς μὲν ὑπονόμους πεποίηκεν, ὧν τοὺς πλείστους οὐκέτι οὐδεὶς ἐξήτασεν, οὗτοι δὲ οἱ ὑπονόμοι μεγίστῳ ὑπογαίῳ λαβυρίνθῳ ὅμοιοί εἰσιν. αὕτη ἡ νῆσος, καλουμένη Ῥάπα Νουὶ ὑπὸ τῶν χθονίων, ἐνδοξοτάτη ἐστι τῶν ἀγαλμάτων ἕνεκα ἐκεῖ ἐκ τοῦ πάλαι κειμένων.

**Τὸ Πακιστᾶν δύο πύραυλα πειρᾶται**

Τὸ Πακιστᾶν δύο πύραυλα ἐπειράσατο, οἷα τ᾽ ὄντα σκοπῶν ἑξακόσια καὶ πεντήκοντα χιλιομέτρα ἀπεχόντων τυχεῖν· ταῦτα δὴ τὰ πύραυλα οἷά τ᾽ ἐστιν πυρηνικὰς κεφαλὰς φέρειν. ὁ Πακιστανὸς Πρωθυπουργός, ταῖς πείραις παρών, εἶπεν ὅτι τὸ Πακιστᾶν ἤδη τοιαύτην πυρηνικὴν δύναμιν ἔχοι ὥστε δέοι ταύτην τὴν χώραν εἰς τὴν ἑταιρείαν τὴν τῶν χωρῶν πυρηνικὴν δύναμιν ἐχόντων δέχεσθαι. τὸ δὲ Πακιστᾶν καὶ ἡ Ἰνδία πειρῶνται συνεχῶς ἄλληλα ἐκφοβεῖν, αἱ γὰρ δύο χῶραι ἅμιλλαν ποιοῦνται ἐξ οὗ τῆς Βρετακινκῆς Ἀρχῆς ἀπέστησαν.

**Ἀρχαιρεσίαι ἐν τῷ Ἡνωμένῳ Βασιλείῳ**

Τῶν ἀχαιρεσιῶν ἤδη ἐν τῷ Ἡνωμένῳ Βασιλείῳ γενομένων, οὐδεὶς τοσαύτας ψήφους κέκτηται ὥστε δύνασθαι ἄνευ συνθήκης τινὸς ἄρχειν. κατὰ δὲ τὸν τῶν ψήφων ἀριθμὸν ὁ Δάβιδ Καμέρων πρῶτος ἐν τῷ ἀγῶνι ἐγένετο, δεύτερος δὲ ὁ Γόρδων Βραῦν, τρῖτος δὲ ὁ Νὶκ Κλῆγ. τοῦτων οὕτως ἐχόντων, δεῖ νῦν τὸν Δ. Καμέρων τῷ Ν. Κλῆγ συνθήκην παρέχειν ἵνα τὰ πρὸς τὴν χώραν διοικεῖν ἔχῃ. ὅμως δὲ αὕτη ἡ συνθήκη οὐ προῖκα γενήσεται τῷ Καμέρων, ὁ γὰρ Κλῆγ ἀντιδεῖται ἐπανορθώσεις περὶ τῆς παιδείας καὶ τῆς οἰκονομίας καὶ τοῦ τῶν ἀρχαιρεσιῶν συστήματος εἰσθεῖναι.

## A child, only survivor in air crash / David Cameron becomes PM / Europe must diminish its expenses

(15-05-10)

**Μόνος παῖς περίεστι ἐν τῇ ἀεροσκαφικῇ δυστυχήματι**

᾿Αεροσκάφους ἐν τῷ τῆς Λυβίας ἀερολιμένι καταπεσόντος, μόνος παῖς ὀκτὼ ἔτη γεγονὼς καὶ Ὁλανδικὸς πολίτης ὢν περιῆν, οἱ γάρ τε ἄλλοι ἐνενήκοντα καὶ δύο ἐπιβάται καὶ οἱ κυβερνῆται ἀπέθανον πάντες. τὸ μὲν ἀεροσκάφος, ἀπὸ τῆς Ἰωαννησπόλεως (ἐν τῇ Νοτίᾳ ᾿Αφρικῇ) ἀποπτάμενον, ἐξαίφνης κατέπεσεν εἰς τὸν τῆς Τριπόλεως ἀερολιμένα ἀφικέσθαι πειρώμενον, οὐδεὶς δὲ οὐκέτι τὴν αἰτίαν οἶδεν. τὸ ἥμισυ τῶν ἐπιβατῶν Ὁλανδικοὶ ἦσαν.

**Ὁ Δαβὶδ Καμέρων πρωθυπουργὸς καθίσταται**

Ὁ Δαβὶδ Καμέρων νέος Βρεταννικὸς πρωθυπουργὸς κατέστη· τῶν ἀρχαιρεσιῶν οὕτως γενομένων ὥστε οὐδενὶ ἐξῆν μόνῳ τὴν ἀρχὴν κτήσασθαι, ἔδει τοὺς εἰς τὴν ἀρχὴν ἀφικέσθαι βουλομένους συνθήκας τινὰς ποιεῖσθαι. τοῦ δὲ Γόρδων Βραῦν τὴν ἀρχὴν ἀφέντος, ὅ τε Καμέρων καὶ ὁ Κλὲγ συνθήκην πεποιήκασιν καθ᾽ ἣν ὁ μὲν Καμέρων πρωθυπουργὸς κατέστη, ὁ δὲ Ν. Κλὲγ δεύτερος τῆς ἀρχῆς μεθέξει. ἐν τῇ πρώτῃ συνόδῳ τῶν νέων ἀρχόντων τόδε ἐγένετο· ὁ Δ. Καμέρων τοῖς νέοις ὑπουργοῖς ἀπεῖπε τὸ τοῖς κινητοῖς τηλεφώνοις ἐν ταῖς συνόδοις χρῆσθαι.

**Δεῖ τὴν Εὐρώπην τὴν δαπάνην μειοῦν**

Πάντες περὶ τῆς οἰκονομικῆς κρίσεως ἀκηκόαμεν, ἐδέησε γὰρ τὴν Εὐρώπην τῇ Ἑλλάδι δανεισμὸν παρέχειν ἵνα εἰς κρίσιν ἔτι μείζονα ἄλλην μὴ εἰσπέσειε. οὐδὲ μόνον ἡ Ἑλλὰς εἰς ταύτην τὴν ἀπορίαν καταπέπτωκεν, ἀλλὰ καὶ ἄλλαι χῶραι οἷον ἡ Ἱσπανία καταπεπτώκασιν· ἐν τῇ Ἱσπανίᾳ ἔδοξε τοῖς ἀρχοῦσι τὸν μισθὸν τὸν τῶν ἐργατῶν καὶ τὴν δημοσίαν δαπάνην μειοῦν. ἐν δὲ ταῖς ἄλλαις χώραις αἳ τῷ Εὐρῳ νομίσματι χρῶνται οὐκέτι δεῖ τοιοῦτο πράττειν, ἀλλὰ ὀλίγου δεῖ.

## New dress code in Teheran University / Boy 13 years old climbs Everest / Red Shirts driven out by soldiers

(23-05-10)

**Νόμοι περὶ τῶν ἐσθήτων ἐν τῷ πανεπιστημίῳ τῆς Τεχεράνης**

Οἱ τοῦ πανεπιστημίου τῆς Τεχεράνης ἄρχοντες εἰσελθεῖν κωλύσωσιν τοὺς ἄλλως ἢ κατὰ τοὺς ἰσλαμικοὺς νόμους ἐσθημένους. οὗτοι δὲ οἱ νέοι νόμοι τοῖς τε ἀνδράσι καὶ ταῖς γυναιξὶ καθεστήκασιν, δεῖ γὰρ τὰς μὲν γυναῖκας ὕφασμα ἐπὶ τῆς κεφαλῆς ἔχειν, τοὺς δὲ ἄνδρας οὐ μόνον κατὰ τοὺς ἰσλαμικοὺς νόμους ἐσθεῖσθαι ἀλλὰ καὶ τὴν τριχὰ μὴ κατὰ τὸ ἑσπέριον ἦθος τέμνεσθαι. ὁ τῶν τοῦ πανεπιστημίου φυλάκων προστάτης λέγει ὅτι ἅτε τῶν πανεπιστημίων ἱερῶν ὄντων δεῖ τούτοις τοῖς μὴ τοῖς ἰσλαμικοῖς νόμοις πειθομένοις ἀνθίστασθαι.

**Νεανίας τρία καὶ δέκα ἔτη γεγονὼς ἐπὶ τὸ Ἔβερεστ ἀναβαίνει**

Ὁ Ἰώρδαν Ῥομέρο, Ἀμερικανὸς νεανίας τρία καὶ δέκα ἔτη γεγονὼς καὶ ἐν τῇ Καλιφορνίᾳ οἰκῶν, ἐπὶ τὴν τοῦ Ἔβερεστ κορυφὴν ἀνέβη σὺν τῷ πατρὶ καὶ σιέρπαις τισίν. τοῦτο δὲ ποιήσας, οὗτος ὁ νεανίας γίγνεται ὁ νεώτατος πάντων τῶν εἰς τὴν τοῦ Ἔβερεστ κορυφὴν ἀναβάντων. πρὸ τοῦ δὲ ὁ νεώτατος ὁ Τέμβα Τσιέρι ἦν, ὃς πάλαι ἑκκαίδεκα ἔτη γεγονὼς εἰς τὴν κορυφὴν ἀφίκετο (ὅμως δὲ οὐ προῖκα τοῦτο ἐποίησεν, ἐδέησε γὰρ πέντε δακτύλους ἐκ τῶν ποδῶν ἀποταμεῖν τοῦ φοβεροῦ κρύους ἕνεκα). ἐξ οὗ ὅ τε Ἔδμονδ Ἵλλαρι καὶ ὁ Τένζιγγ Νόργαι εἰς τὴν κορυφὴν ἀφίκοντο, τέτταρες χίλιοι ἄνθρωποι τοῦτο τὸ ἀγώνισμα πεποιήκασιν.

**Οἱ στρατιῶται τοὺς "ἐρύθρους χιτῶνας" ἐκ τῆς ἀγορᾶς ἐξελαύνουσιν**

Ἐμπρήσεων πολλῶν καὶ πορθήσεων ἐν τῷ Βαγκὼκ τῆς νυκτὸς γενομένων, οἱ στρατιῶται τοὺς "ἐρύθρους χιτῶνας" ἐκ τῆς ἀγορᾶς ἐξήλασαν. οἱ μὲν τοῖς νῦν ἄρχουσιν ἀνθιστάμενοι τὸ οἰκονομικὸν τῆς πόλεως κέντρον καταλαβόντες ἓξ ἑβδομάδας ἐκεῖ ἔμενον· χθὲς δέ, τῆς ἐξελάσεως γιγνομένης, πεντεκαίδεκα τῶν ἀνθισταμένων ἀπέθανον καὶ ἑκατὸν καί τριάκοντα ἐβλάβησαν· ἐν μὲν τῇ πρωτευούσῃ δώδεκα ἑκατομμύρια ἀνθρώπων ἐνοικοῦσιν, ὅμως δὲ οἱ πλεῖστοι τῶν ἀνθισταμένων οὐκ πολῖται ἦσαν, ἀλλὰ ἐκ τῶν ἀγρῶν ἀφιγμένοι ἦσαν. ἐξ οὗ ἡ ταραχὴ ἤρξατο, ὀγδοήκοντα ἄνθρωποι ἀπέθανον καὶ χίλιοι καὶ πεντακόσιοι ἐβλάβησαν.

## Maoists in India kill 73 / Bomb of WWII in Berlin / Kremlin wants again old soviet limousines

(29-05-10)

**Ἑβδομήκοντα καὶ τρεῖς ἀποθνῄσκουσιν ἐν τῇ Ἰνδίᾳ ὑπὸ τῶν μαοιστῶν**

Σιδηροδρόμου ἐν τῇ Ἰνδίᾳ ἐκτροχιασαμένου, ἑβδομήκοντα καὶ τρεῖς ἄνθρωποι ἀπέθανον, ἄλλοι δὲ διακόσιοι ἐβλάβησαν· ἡ συμφορὰ διπλῆ ἐγένετο· πρῶτον μὲν ἔκρηξίς τις τὸν σιδηρόδρομον ἐκ τῶν σιδηροτροχιῶν ἐξέβαλεν, ἔπειτα δὲ αὕτη ἡ συμφορὰ χείρων ἐγένετο, οὗτος γὰρ ὁ σιδηρόδρομος, ἤδη χαμαὶ κείμενος, ὑπὸ ἄλλου σιδηροδρόμου ταχέως προσερχομένου ἐπεώσθη. κατὰ δὲ τοὺς φύλακας ἡ βόμβα ὑπὸ τῆς νεωτεροποιοῦ ἑταιρείας τῶν μαοιστῶν κατετέθη οἳ προϊόντος τούτου τοῦ ἔτους ἤδη πολλὰς ἄλλας βόμβας ἐν τῇ Βεγγάλῃ κατέθεσαν.

**Βόμβα τοῦ Δευτέρου Παγκοσμίου Πολέμου ἐν τῷ Βερολίνῳ**

Ἐννεαχιλίοις ἀνθρώποις οὐκ ἐξῆν οἴκοι καθεύδειν ἅτε ἐργατῶν τινων οἳ διώρυχα ὤρυττον ἐξ ἀπροσδοκέτου βόμβαν τοῦ Δευτέρου Παγκοσμίου Πολέμου εὑρόντων· αὕτη ἡ βόμβα οὐκ ἐξέρρωγεν, ὅμως δὲ δυνατή ἐστι νῦν ἐκρήγνυσθαι, τούτου δὲ ἕνεκα οἱ φύλακες τοὺς ἐν ἐκείνῳ τῷ δήμῳ ἐνοικούντας τὰς οἰκίας ταχέως καταλιπεῖν ἐκέλευσαν. λέγουσι δὲ οἱ ἔμπειροι ὅτι ἔτι καὶ νῦν τρισχίλιαι βόμβαι ἐν τῷ Βερολίνῳ κεῖνται, αἳ οὐκ ἐξερρώγασιν οὐκέτι (ἄλλας ἑπταχιλίας ἤδη ηὑρήκασιν). ὅταν ἐν τῷ Βερολίνῳ ὀρύττειν βούλωνται, δεῖ πρῶτον τὴν γὴν ἀκριβῶς ἐξετάζειν.

**Τὸ Κρέμλιν βούλεται αὖθις τὰς ἀρχαίας σοβιετικὰς λιμουσίνας**

Ὁ Ῥοσσικὸς πρόεδρος Δημήτριος Μεδβέδεφ βούλεται νῦν λιμουσίνην ἐν τῇ Ῥωσσίᾳ εἰργασμένην κτᾶσθαι ἀντὶ τῆς Μερκέδης ᾗ καθ’ ἡμέραν χρῆται ὁπόταν εἰς τὸ Κρέμλιν πορεύηται. ὅ τε Χρουστσιὸφ καὶ ὁ Βρέζνιεφ καὶ ὁ Γορβατσὼφ ταύταις ταῖς λιμουσίναις ἐχρήσαντο (ταῦτα τὰ αὐτοκίνητα, τοῖς ’Αμερικανοῖς Πάκαρδ καλουμένοις ἐοικότα, ἐν ἐκείνῳ τῷ χρόνῳ τὰ δολιχώτατα αὐτοκίνητα τῶν τότε ἐγένετο)· ἔπειτα δὲ ὅ τε Ἰέλτσιν καὶ

οἱ ἄλλοι οἱ μετὰ αὐτὸν ἄρχοντες αὐτὰ μετεβάλοντο ἀντὶ τῶν Μερκεδῶν ἐν τῇ Γερμανίᾳ εἰργασμένων.

## Naoto Kan, appointed PM of Japan / Israel assaults a ship / Kasparov against Putin

(06-06-10)

**Ὁ Ναότω Κᾶν προθυπουργὸς τῆς Ἰαπονίας καθίσταται**

Ὁ Ναότω Κᾶν, τὸ πρότερον ὑπουργὸς τῆς οἰκονομίας, πρωθυπουργὸς τῆς χώρας κατέστη. ὅμως δὲ ἀρχαιρεσίας οὐκ ἐποιήσαντο οἱ πολῖται, οὐ γὰρ δέον νέαν βουλὴν ἑλέσθαι τοῖς ἄλλοις ἀρχοῦσι τῆς αὐτῆς πολιτικῆς ἑταιρείας αὐτοὶ νέον πρωθυπουργὸν ἑλέσθαι ἐξῆν, αἱ δὲ δημόσιαι ἀρχαιρεσίαι (ἵνα νέαν βουλὴν αἱρήσωσιν) ὕστερον ποιήσονται οἱ πολῖται. ὁ Κᾶν, ἑξήκοντα καὶ τρία ἔτη γεγονώς, ὁ πέμπτος πρωθυπουργὸς τριῶν ἐνιαυτῶν γενήσεται, τῷ δὲ Ἰούκιω Ἁτοιάμα διαδέχεται ὃς τὴν ἀρχὴν ἀφῆκεν καίπερ μόνον ὀκτὼ μηνὰς ἄρξας· οἱ τῆς Ἰαπονίας πολῖται βούλονται νῦν ταύτῃ τῇ διαδοχῇ πρωθυπουργῶν (πέντε πρωθυπουργοὶ τριῶν ἐνιαυτῶν γεγόνασιν) τέλος ἐπιθεῖναι.

**Τὸ Ἰσραῆλ ναῦν κατέχει**

Τὸ Ἰσραῆλ ναῦν εἰς τὴν Γάζαν πλέουσαν βίᾳ ἔλαβεν, ἐν δὲ ταύτῃ τῇ λήψει δέκα ἄνθρωποι οἳ ἐν τῇ νηὶ ἐπορεύοντο ὑπὸ τῶν στρατιωτῶν ἀπέθανον. κατὰ μὲν οἱ ἐν τῇ νηί, ἡ μὲν ναῦς ὠφέλειαν τοῖς ἐν τῇ Γάζῃ οἰκοῦσιν ἔφερον (σῖτόν τε καὶ ἄλλα), οἱ δὲ στρατιῶται ἐξαίφνης εἰς τὴν ναῦν ἐπιβάντες ἐπυροβόλησαν καὶ δέκα ἀνθρώπους ἀλόγως ἀπέκτειναν· κατὰ δὲ τὴν ἰσραηλινὴν ἀρχήν, ἡ μὲν ναῦς οὐ μόνον ὠφέλειαν ἀλλὰ καὶ ὅπλα εἰς τὴν Γάζαν εἰσενεγκεῖν ἔπειρα, οἱ δὲ ἐν τῇ νηὶ ὄντες τοῖς στρατιώταις πρὸς τὴν ναῦν προσπλέουσιν ἀλόγως ἐπετίθεντο.

**Ὁ Κασπάροβ κατὰ τοῦ Ποῦτιν**

Ὁ ἔνδοξος τοῦ σκάκι ὑπέρμαχος Γάρρι Κασπάροβ, τῷ διαδυκτίῳ χρώμενος τὸν Ποῦτιν μέμφεται, τοῦτο δὲ ποιεῖ τὸν μῦθον περὶ τοῦτον τὸν πολιτικὸν διαφθείρειν πειρῶν· κατὰ τὸν Κασπάροβ, ὁ Ποῦτιν πολλοὺς μὲν δημοσιογράφους αὐτῷ ἀντιστάντας εἰς τὸ δεσμωτήριον εἰσέβαλεν, πολλοὺς δὲ χιλίους ἐν τῷ Καυκάσῳ ἀπέκτεινεν, τὴν δὲ παρρησίαν ἐν πάσῃ τῇ χώρᾳ διέφθειρεν, κτλ. ὁ Κασπάροβ σελίδα περὶ τούτου τοῦ πράγματος εἰς τὸ διαδύκτιον εἰσέθηκεν ἵνα οἱ πολῖται ἔκοντες εἰσγράφωνται, βούλεται δὲ τὸν Ποῦτιν ἀναγκάζειν τὴν ἀρχὴν καταλιπεῖν (ὅμως δὲ ὁ Ποῦτιν νῦν οὐ πρόεδρος ἀλλὰ πρωθυπουργός ἐστιν), λέγει γὰρ ὅτι ἡ τοῦ δήμου χάρις ᾗ χρώμενος ὁ Ποῦτιν τοσαῦτα ἔτη ἐν τῇ ἀρχῇ ἔμενεν ψευδῆ ἐστιν.

## Elections in Belgium / Sanctions against Iran / Football World Cup bgins

(12-06-10)

### Ἀρχαιρεσίαι ἐν τῷ Βελγίῳ

Τῶν ἀρχόντων νεωστὶ τῆς ἀρχῆς ἐκστάντων, δεήσει τοὺς τοῦ Βελγίου πολίτας ἀρχαιρεσίας αὔριον ποιεῖν· τῶν δὲ Φλαμανδικῶν τὴν αὐτονομίαν κτᾶσθαι πειρωμένων, τόδε τὸ τῶν ἀρχαιρεσιῶν κέντρον ἔσται· δεῖ τοὺς Φλαμανδικοὺς αὐτονόμους γενέσθαι ἢ μή; κατὰ μὲν τοὺς γαλλοφώνους δεῖ τοὺς Φλαμανδικοὺς κοινῇ ἐνόχους εἶναι τοῖς ἄλλοις πολίταις καίπερ πλουσιωτέρους ὄντας, οἱ δὲ Φλαμανδικοὶ παντελῶς ἀτελεῖς μὲν γενέσθαι οὐ βούλονται, αἰτοῦσι δὲ αὐτοὶ δέχεσθαί τε καὶ χρῆσθαι τοῖς φόροις οὓς οἱ ἐν τῇ Φλάνδρῃ οἰκοῦντες ἀποτίνονται.

### Ζημίαι κατὰ τοῦ Ἰρᾶν

Ὁ ΗΕΟ νέας ζημίας κατὰ τοῦ Ἰρᾶν ἐπιθήσει τοῦ πυρηνικοῦ ταύτης τῆς χώρας προγράμματος ἕνεκα, κατὰ γὰρ τὸν ΗΕΟ τὸ Ἰρᾶν ἔτι καὶ νῦν πυρηνικὴν ἐνεργείαν κτᾶσθαι πειρᾶται ἵνα πυρηνικὰ πύραυλα ἐργάζηται. ὅμως δὲ κατὰ τοὺς τοῦ Ἰρᾶν ἄρχοντας αὗται αἱ ζημίαι τὴν τάσιν τὴν ἐν ἐκείνῃ τῇ χώρᾳ (οὐ μόνον ἐν τῷ Ἰρᾶν ἀλλὰ καὶ ἐν πάσῃ τῇ Μέσῃ Ἀνατολῇ) ἤδη μεγάλην οὖσαν αὐξήσει, διαβεβαιοῦνται δὲ οἱ ἐν τέλει ὅτι ἐπὶ τῷ προγράμματι οὐδενὸς κωλύοντος μενοῦσιν.

**Τὸ Παγκόσμιον Κύπελλον Ποδοσφαίρου ἄρχεται**

Τὸ Παγκόσμιον Κύπελλον Ποδοσφαιρικοῦ χθὲς ἤρξατο. αὕτη ἡ ἅμιλλα κατὰ τέτταρας ἐνιαυτοὺς γίγνεται· τὸ μὲν πρότερον ἐν τῇ Εὐρώπῃ καὶ ἐν τῇ Ἀμερίκῃ καὶ ἐν τῇ Ἀσίᾳ τὸ πρωτάθλημα ἐποιήσαντο, νῦν δὲ τὸ πρῶτον ἐν τῇ Νοτίᾳ Ἀφρικῇ ἔδοξε τοῖς τοῦτο διατιθεῖσι ποιεῖσθαι. τοῦτο τὸ πρωτάθλημα ἀξιολογώτατόν ἐστιν, εἰ γὰρ σφαῖρα ἀὴρ ἔνδον ἔχουσα ὑπὲρ λευκὴν γραμμὴν διέρχεται, πάντες μὲν οἱ πολῖται μίας χώρας ἀνίστανται μέγα βοῶντες καὶ μαίνονται καὶ μεθύσκονται, οἱ δὲ πολῖται ἄλλης τινὸς χώρας κλαίουσι καὶ εἰς πλείστην ἀθυμίαν καθίστανται καὶ ὑπεραλγοῦσιν· δεῖ γὰρ ἡμᾶς τοῦτο ἀξιολογώτατόν τι εἶναι νομίζειν.

## Cameron and Sarkozy meet / Two thousand die in Kirguizistan / Four North Korea football players flee

(19-06-10)

**Ὅ τε Καμέρων καὶ ὁ Σαρκοζὶ συνέρχονται**

Ὁ τῆς Γαλατίας πρόεδρος εἰς τὴν Ἀγγλίαν ἀφίκετο χθὲς ἵνα τῷ Καμέρων συνέλθοι, τήμερον δὲ οἱ δύο πρόεδροι περὶ ἄλλων τε καὶ τῆς συμμαχίας τῆς ἐν τῷ Δευτέρῳ Παγκοσμίῳ Πολέμῳ διελέξαντο, νῦν γὰρ ἤδη τὸ ἑβδομηκοστὸν ἔτος ὁ στρατηγὸς Δὲ Γώλ, ἐκ τῆς Γαλατίας τότε ὑπὸ τῶν Γερμάνων κατεσχημένης ἀποφυγών, τοὺς Γαλάτας τῷ ῥαδιοφωνικῷ τοῦ BBC σταθμῷ ἐν τῷ Λονδίνῳ χρώμενος προσηγόρευσέ τε καὶ ἐπώτρυνε πρὸς τὴν ἐπὶ τοὺς Γερμάνους ἀντίστασιν (αὐτὸς εἰς τὴν Γαλατίαν οὐκ ἐπανῆλθε πρὶν οἱ σύμμαχοι τοὺς Γερμανοὺς ἐκ τῆς Γαλατίας ἐξήλασαν). τήμερον δὲ οἱ δύο πρόεδροι, περὶ τούτου μιμνῃσκόμενοι, ἐνίοις στρατιώταις ἐκείνου τοῦ πολέμου ἔτι ζῶσι συνελθόντες ἐτίμησαν.

**Δισχίλιοι ἐν τῇ Κιργιζίᾳ ἀποθνήσκουσιν**

Ἡ πρόεδρος ἡ τῆς Κιργιζίας εἶπε χθὲς ὅτι ἴσως δισχίλιοι ἢ πλείονες πολῖται ἀποθάνοιεν· τῶν κιργιῶν καὶ τῶν οὐζβεκῶν ἀλλήλοις συνεχῶς ἐπιτιθεμένων καὶ πολλῶν οἰκημάτων καὶ καπηλείων καὶ ὀψοπωλίων διαφθαρέντων, ἡ χώρα ἐν ἀπορίᾳ κεῖται καὶ οὐκ ἔξεστιν ἀκριβῶς

εἰδέναι ὁποῖοι ἄνθρωποι ἀποθάνοιεν, οἱ γὰρ πολῖται τοὺς νεκροὺς ὡς τάχιστα θάπτουσιν ἵνα ἐπιδημίους νόσους κωλύσωσιν. ὁ μὲν ΗΕΟ πειρᾶται νῦν τοὺς πολῖτας ἔτι ἐκεῖ μένοντας ὠφελεῖν, πολλοὶ δὲ ἄλλοι εἰς τὸ Οὐζβεκιστᾶν ἐκπεφεύγασιν.

**Τέτταρες τῆς Βορείας Κορέας ποδοσφαιρισταὶ ἀποφεύγουσιν**

Τέτταρες ποδοσφαιρισταὶ τῆς Βορείας Κορέας οἳ τοῦ Παγκοσμίου Κυπέλλου Ποδοσφαίρου ἕνεκα ἐν τῇ Νοτίᾳ Ἀφρικῇ ἦσαν ἀπέφυγον. οἱ μὲν τῆς Νοτίας Κορέας ἄρχοντες τοὺς ποδοσφαιριστὰς εἰς πανδοκεῖόν τι ἔξω τῶν πόλεων κείμενον ἔπεμψαν ἵνα μόνοι αὐτοὶ ἐκεῖ μένοιεν, καὶ δὴ καὶ πολιτικοὶ φύλακες ἀεὶ αὐτοῖς συνηκολούθουν· ὅμως δέ, τέτταρες ποδοσφαιρισταὶ τοὺς πολιτικοὺς φύλακας ἔλαθον ἐκ τοῦ πανδοκείου τῆς νυκτὸς ἐκβαίνοντες καὶ ἀπέφυγον. τῇ δὲ ὑστεραίᾳ τοῖς μὲν δημοσιογράφοις ἐρωτῶσιν ὅπου οὗτοι οἱ ποδοσφαιρισταὶ εἶεν ἀπεκρίνατο ὁ τῆς κορεάνης ὁμάδος ἀρχὼν ὅτι νοσοῖεν, ταῦτα δὲ ἀκούσαντες οἱ δημοσιογράφοι μάλιστα ἐγέλασαν.

## The nurse of Time Square dies / Venus de Milo goes back to Louvre / Jamaica extradites Christopher Coke to USA

(26-06-10)

**Ἡ νοσοκόμη ἡ τῆς τοῦ Χρόνου Ἀγορᾶς ἀποθνῄσκει**

Τοῦ Δευτέρου Παγκοσμίου Πολέμου τελευτήσαντος, οἱ τῆς Νέας Ὑόρκης πολῖται εἰς τὰς ἀγυιᾶς ἐξῆλθον ἵνα τῆς νίκης ἕνεκα ἑορτάζοιεν· νοσοκόμη δὲ τις καὶ ναύτης ἀλλήλους ἠσπάζοντο καὶ φωτογράφος τις, Ἀλφρέδος Εἰσένσταεδ ὀνόματι, φωτογράφημα αὐτῶν ἐποίησεν, ἔπειτα δὲ τοῦτο τὸ φωτογράφημα ἔνδοξον ἐγένετο, σύμβολον γὰρ ἐγένετο τῆς ἐν ἐκείνῳ τῷ πολέμῳ νίκης. ἡ μὲν νοσοκόμη, Ἔδιτ Σάιν, νεωστὶ ἀπέθανεν, ἤδη ἐνενήκοντα καὶ ἓν ἔτη γεγονυῖα, περὶ δὲ τοῦ ναύτου οὐδὲν ἴσμεν, ἡ γὰρ νοσοκόμη οὐδέποτε εἶπεν ὅστις οὗτος εἴη.

**Ἡ Ἀφροδίτη τῆς Μήλου εἰς τὸ Μουσεῖον τοῦ Λούβρου ἐπανέρχεται**

Τὸ ἔνδοξον ἄγαλμα ἐν τῇ Μήλῳ εὑρεθὲν πρὸς τὴν Γαλατίαν ἠνέχθη καὶ εἰς τὸ Μουσεῖον τοῦ Λούβρου κατετέθη, οὗ ἀεὶ ἐξῆν θαυμάζειν· ὅμως δὲ τὸ πέρυσιν οὐ δυνατὸν ἦν ἰδεῖν, ἐδέησε γὰρ μικρὰς βλάβας ἀκεῖσθαι. νῦν δέ, τούτων τῶν βλαβῶν ἤδη ἀκεσθεισῶν, τὸ ἄγαλμα αὖθις εἰς τὸ μουσεῖον ἐνηνόχασιν. τὸ ἄγαλμα βραχίονας οὐκ ἔχει, νῦν δὲ οἱ ἔμπειροι αὐτὸ ἀκριβῶς ἐξετάζοντες ἐξηυρήκασιν ὅτι οἱ ἀρχαιολόγοι οἳ τὸ ἄγαλμα ηὗρον πρῶτον μὲν βραχίονας προτιθέναι ἐπειράσαντο, ἔπειτα δέ, ἴσως οὐ γιγνώσκοντες ὅπως δέοι τοὺς βραχίονας κατὰ τὸ πρῶτον εἶδος προτιθέναι, ταύτην τὴν βουλὴν κατέλιπον. καὶ δὴ καὶ οὐκέτι ἴσμεν πότερον ἄγαλμά ἐστι τῆς Ἀφροδίτης ἢ τῆς Ἀμφιτρίτης (ἡ Ἀμφιτρίτη θεὰ ἦν ἣν οἱ τῆς Μήλου νησιῶται μάλιστα ἔσεβον).

**Ἰαμαίκα τὸν Χριστοφόρον Κόκη πρὸς τὰς ΗΑΠ ἐξελαύνει**

Τὸν φαρμακοέμπορον Χριστοφόρον Κόκη καταλαβόντες, οἱ τῆς Ἰαμαίκης φύλακες πρὸς τὰς ΗΑΠ ἐξεληλάκασιν, ὁ δὲ ἐν τῇ Νέᾳ Ὑόρκῃ ἤδη ἐστίν. ὅμως δὲ οὐ ῥᾴδιον ἐγένετο αὐτὸν καταλαβεῖν, οἱ γὰρ τοῦ Χ. Κ. ὀπαδοὶ τοῖς φύλαξι σφόδρα ἀντέστησαν καί, μαχῆς ἐν ταῖς τοῦ Κῖγγστον ἀγυιαῖς γενομένης, ἑβδομήκοντα ἄνθρωποι ἀπέθανον, ἄλλῃ τε καὶ ἐν τῷ δήμῳ Τίβολι, οἱ γὰρ ἐκεῖ ἐνοικοῦντες αὐτὸν ἀμύνειν ἐπείρασαν (λέγεται ὅτι ὁ Χ. Κ. ἐκεῖ ἐγένετο). νῦν δὲ ὁ Χ. Κ., τετταράκοντα καὶ ἓν ἔτη γεγονώς, ἐν τῷ Μαγχάτταν δικασθήσεται, αὐτοῦ γὰρ κατηγοροῦσιν ἐμπορίαν φαρμάκων τε καὶ ὅπλων καὶ φόνους πολλούς.